AESCHYLI AGAMEMNON.

EX FIDE CODICUM EDIDIT,

SCHOLIA SUBIECIT, COMMENTARIO INSTRUXIT

I. A. C. VAN HEUSDE.

ACCEDUNT SCHOLIA COD. FARN. NUNC PRIMUM INTEGRA.

ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν ἦν ποτ' ἀοιδοῦ
τοιοῦδ' οἷος ὅδ' ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδήν.

HAGAE COMITIS
APUD P. J. KRAFT.
MDCCCLXIV.

AESCHYLI AGAMEMNON.

EX FIDE CODICUM EDIDIT,

SCHOLIA SUBIECIT, COMMENTARIO INSTRUXIT

I. A. C. VAN HEUSDE.

ACCEDUNT SCHOLIA COD. FARN. NUNC PRIMUM INTEGRA.

ἦτοι μὲν τόδε καλὸν ἀκουέμεν ἦν ποτ' ἀοιδοῦ
τοιοῦδ' οἷος ὅδ' ἐστὶ, θεοῖς ἐναλίγκιος αὐδήν.

HAGAE COMITIS
APUD P. J. KRAFT.
MDCCCLXIV.

EX TYPOGRAPHEO A. W. SYTHOFF.

PRAEFATIO.

Narrat Eust. ad Il. p. 1298: *ὁ καλὸς Αἰσχύλος τὰς αὐτοῦ τραγῳδίας τεμάχη λέγων εἶναι τῶν Ὁμήρου μεγάλων δείπνων, διὰ τὸ λαμπρῶς ἀπομάττεσθαι τὰς Ὁμηρικὰς μεθόδους, ὥς ποτε ἀδίκως ἡττήθη, ἀνατιθέναι τὴν τραγῳδίαν ἔφη χρόνῳ, εἰδὼς ὡς κομιεῖται κατὰ καιρὸν ὑπὸ τῶν ὀρθῶς ἀνακρινόντων τὴν προσήκουσαν τιμήν* (cf. Athen. 8 p. 347[e]). Profecto, si cui, Aeschylo inde ab obitu tempus faustissimum fuit. Nam ea aetate, quae proxime eius mortem secuta est, quantae venerationi poëta ipse, quantae admirationi scripta eius poëtica fuerint, accurate nobis exposuit F. G. Welcker (Aesch. Tril. p. 523 sqq.). Quodsi tempori arbitrium de poësi sua permittens non falso auguratus est, tamen dici non potest arbitrum aequum perpetuo nactus esse. Testatur Quinctilianus; qui quum ipse *rudem in plerisque et incompositum* eum esse dixisset, addit (X, 1): *propter quod correctas eius fabulas in certamen deferre posterioribus poëtis Athenienses permisere, suntque eo modo multi coronati.* Patebat, ut fit, ea ipsa correctio tam late quam postulare videbatur mutata sensim linguae studiique conditio. Iam, nisi certo consilio compesceretur novandi libido, metus erat ne in posterum vix agnosci prisca Aeschyli manus posset. Itaque magna laus fuit Lycurgi oratoris, lege caventis ne amplius corrumperentur scripta, certe ne corrupta in scenam proferrentur. *Εἰσήνεγκε νόμον ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν ποιητῶν Αἰσχ. Σοφ. Εὐρ., καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν, καὶ*

τὸν τῆς πόλεως γραμματέα παραναγινώσκειν τοῖς ὑποκρινομένοις· οὐκ ἐξεῖναι γὰρ (*καὶ οὐκ ἐξ. παρ'* Wytt.) *αὐτὰς ὑποκρίνεσθαι.* Quo decreto si cautum fuit ne gravior in dies iniuria dramatibus veterum inferretur, non provisum ut in scenam studiosius producerentur Aeschylea. Eaque ipsa causa fuit cur in ipsa Aristotelis Poëtica tam raro Aeschyli mentio facta sit, universe ut posterioris aetatis scriptores fabulas eius aut negligerent aut non eo quo par erat pretio haberent.

Quae secuta sunt tempora quam infesta ac funesta Aeschyli monumentis fuerint, docuit *Schneidewin* Praef. ad Agam. Neque illa hic repetam nec de vetustissimo qui superest Cod. Mediceo, iam ab aliis descripto, referam; praestat afferre ea quae leguntur in *Ambrosii* Camaldulensis Epist. l. XV prima, quam monachus scripsit Florentiae ex monasterio Angelorum (in quo mansit ad a. 1417, aetatis 31) ad *Nicolaum* suum." — *Heri vesperi, posteaquam ceperam scribere ad te, redditum est mihi a Pantaleone volumen illud eximium ad te ex Bizantio delatum. Quod sane ut vidi, facile a me obtinuit, ut, obmissa cura, in se animum oculosque converterem. Est enim eximiae pulchritudinis et dignum sane quod in bibliothecam tuam id pridem immigraret. Continet septem tragoedias Sophoclis, sex Eschinis* (l. Aeschyli), *Argon. Apollonii in libros quatuor distincta, in membranis litterisque gratissimis, et quae pro antiquitate sua, meo quidem iudicio, ante sexcentesimum annum exaratae sunt. Latitudo voluminis huiusce folii aequat latitudinem, longitudinem duobus hoc digitis superat. Habet per totum in marginibus inserta notabilia plurima et perutilia compositissimis litteris atque ex nobilissimis auctoribus sumta, Lucilio Tarrense, quae Cretae civitas, Sophocleo ac Theone,* XXXIX *lineis quaque pagina signatur, folia omnia* CCLXVI *sunt. Atque ut totum breviter explicem, nunquam poëticum aliquid formosius vidi. Graecanicae sordes nusquam fere libro illi obfuerunt, sed comtus satis ac nitidus perstitit. Aurispa noster in hoc profecto amicissimi viri implevit munus, quod tanta illi cura fuit ut volumen ipsum in tuas deveniret manus. Ve-*

rum haec satis de volumine nostro [1]). Quaeritur, Mediceus an diversus ab eo Codex hic memoretur. Sine dubio diversus, et multo antiquior fuit; nam Med. primum septem tragoedias continet, tum constat 264 foliis et communi iudicio refertur ad sec. X vel XI; praeterea etsi folia in eo sint 39 linearum, tamen bene multa numerum illum valde excedunt. Quum autem in ceteris Ambrosii Traversarii epistolis plura de tanti pretii codice frustra quaesiverim, tantum constare censeo, Mediceum ex eo describi non potuisse; etenim integras usque ad sec. XV exiens in Mediceo septem fabulas permansisse, ostendit Franz (des Aesch. Oresteia p. 307).

Parumne erat Aeschylo temporis aequitati confiso, quod ex octoginta dramatum numero septem eaque non omnia integra ad posteritatem pervenerunt? At favit fortuna eo quod, quae Agamemnoni et Choëphoris deërant partes, suppleri ex Codd. Florentino et Farnesiano poterant. Utrumque — etiam, et non sine fructu, Mediceum, Guelferbytanum, Marcianum (quo usum esse Robortellum comperi) et utrumque Venetum — conferre mihi licuit. Ac primum quidem Neapolin delatus, ut Farnesiano mihi liceret uti petivi, oravi; ubi videbam, non exorato stare adamante vias, abii, rediturus ubi crassis tenebris et regno suspicioso lux et fides successissent. Redii mutato rerum statu, benevolentiam expertus Bibliothecae praefecti (erat Abbas *Fornari*) quam sua auxit perpetuus mihi in Bibliotheca comes *Flores*. Vidi codicem nitidissime scriptum ac stupui, initio eius, quo continebatur Prometheus, tam ubique misere tineis ac blattis corrupto, ut non *δεσμώτης* sed vere λυόμενος esset. Contra, quam quaerebam tragoediam, Agamemnon integra erat. Sciebam, *P. Victorium* olim usum fuisse eo Codice, quem in praefatione ita laudat: *quod vero ad Agamemnonem pertinet, ne quicquam omitteremus quod ad eius restitutionem faceret, quum audissemus Romae in Bibliotheca Alexandri Farnesii*

[1]) Partim secutus sum edit. quam paravit *L. Mehus*, partim antiquiorem, quam paraverat *E. Martene*, quae passim praestat.

Aeschyli volumen inveniri, in quo haec fabula legeretur, conferendam eam, a nobis descriptam, curavimus cum eo exemplari; in quo nobis operam suam fidelem atque eruditam praebuit Gulielmus Sirletus, ut cuncta diligenter notaret quae aliter illic legerentur. Nos autem postea varietatibus illis diligenter ponderatis, in eam opinionem venimus, ut nostrum librum non deteriorem illo putaremus: ac magnam partem eorum quae variata in eo offenduntur, immutatam ab aliquo crederemus, qui in suos quosdam versus restituere chori cantus voluerit; saepe enim addita aut dempta illic quaedam cognovimus, quae consilium eius adiuvarent. Praeterea haud levis suspicio est, *H. Stephanum*, e cuius officina Lutetiae Victoriana prodiit, Romae quum versaretur, inspexisse Farnesianum, et scholia quaedam, quae deerant Mediceo et Florentino, a Victorio adhibitis, excerpsisse; neque enim is labor Sirleto a Victorio commissus fuerat, nec video qua alia ratione in Victorianam invecta sint. Postea *P. Elmslei* varietatem scripturae in Aeschyli Agam. ex eodem Cod. depromsit. Is in Mus. Cantabr. Vol. II p. 457 ita refert: „Codex nunc Neapoli exstat in Regio Museo, ubi paucos dies anno superiori in eo inspiciendo consumsi. Paschalis Baffius ita eum describit: *Aeschyli Προμ. δ. Ἑπτὰ ἐ. Θ. Πέρσ., Ἀγαμ. Εὐμ. cum glossis interlinearibus et scholiis marg. antiquis Thom. Mag. et Dem. Tricl. Quum scholiis Triclinii fere perpetuo praefigatur ἡμέτερα, et initio Δημητρίου τοῦ Τρικλινίου, Cod. hic bombycinus aut αὐτόγραφος est aut ex αὐτογράφῳ descriptus: certe saeculi est* XIV *ad finem vergentis, quo tempore Tricl. floruit.* Eadem mihi quoque in mentem venit suspicio, codicem ipsius Triclinii manu exaratum esse. Licet Aeschylum non nisi e recensione Triclinii nobis exhibeat, immerito tamen neglectus est a Victorio, qui tam in Agam. quam in aliis fabulis multas lectiones vulgatis meliores ex eo proferre potuisset. — Non obstant sexcentae Triclinii coniecturae, quo minus dignissimus sit Cod. Farn. quem suis oculis usurpent Blomfieldius et Hermannus aut quisquis alius in Aeschylo denuo recensendo laborat. Aegre enim

Neapoli, ubi iacent hac literae [*docta* ap. Mart. 5, 78, *hospita Musis* ap. Sil. Ital. 12, 31], repertum iri credo, qui Codicis conferendi laborem et libenter suscipiat et accurate conficiat." — Sic scribens ille magnam mihi exspectationem codicis moverat, quem in Agamemnone *Imm. Bekker* denuo excusserat (Haupt Praef. Ed. G. Herm. p. X). Ut fit, plurima exigui ac nullius pretii commenta inveniebam, notata tamen a me ut suum cuique iudicium esset. Verum, quod maxime mea intererat, praeter illa ἡμέτερα, quae Elmsl. et Haupt memoraverant, incidebam in σχόλια παλαιά, accurate ab illis distincta, quorum pars maxima nondum edita fuerat. Descriptis autem a me iam illis omnibus, *Heimsoeth* (Nachtrag zu d. Schrift über d. Wiederh. d. Dramen d. Aesch. p. 41, 183) memoravit Cod. Vindob., quo continentur σχόλια παλαιὰ εἰς τὸν Ἀγαμ. Pauca, quae ex eo descripsit, pertinent ad vss. 114, 206, 286, 413, 472, 667, 702 sq. et congruunt cum Farn., ex quo videntur descripta esse.

Accessurus ad editiones, non possum silentio praeterire quae *Salmasius* Epist. Dedic., quae praecedit libellum de Hellenistica, a. 1643 scripsit, quo tempore iam dudum Victoriana et Canteriana prodierant: *quis Aeschylum possit adfirmare Graece nunc scienti magis patere explicabilem, quam Euangelia aut Epistolas Apostolicas? Unus eius Agamemnon obscuritate superat quantum est librorum sacrorum cum suis Hebraïsmis et Syriasmis et tota Hellenisticae supellectile, vel farragine.* Idem in Plin. Exerc. p. 418 Agam. vs. 881 egregie corrigens, vs. seq. edidit εἱμάτων βάφος pro βαφάς. Fieri potest ut typothetae sit vitium; at ib. p. 78 vs. 638 legitur ἐκ τῶν ἀβροπήνων προκαλιμήντῶν ἔπλευσεν ζεφύρου γίγαντος ὥρᾳ. Id quidem nisi ex corruptissimo codice descripserit, nescio quid statuam; si inde sua hausit eoque solo usus est, plane intelligo quo iure tantam Agamemnonis obscuritatem praedicaverit. Post eum crevit sensim meliorum editionum copia, nec defuerunt qui commentariis criticis et exegeticis Aeschylum explicarent. Quae omnia nihil iam attinet commemorare, suo pretio habere par est; modo ne quis existimet prope abesse ut omnia plana facta

sint. Sunt multa etiam nunc obscura; sed obscuritas illa minus e locorum corruptela quam ex loquentium, maxime Clyt., tecte et ambigue dicendi consilio orta. Sed, ut dicam quod verum est, illos studiorum fructus, quos maxime auxit aequalium cura et diligentia, obscurat prorsus miserrima ipsorum dramatum conditio. Editiones enim nuperrime paratae scatent innumeris coniecturis levissime et sine ulla veteris scripturae reverentia textui illatis. Nec tantum nova ubivis verba intruduntur, et integri saepe versus mutantur, sed etiam passim commovetur versuum ordo, passim lacunae pro arbitrio implentur. Ut brevi complectar, unus hic vultus in orbe, quem dixere chaos. Profecto Aeschylus ipse, si pauculas illas ex magno naufragio tabulas ei liceret inspicere, tempori diffisus cum Prometheo suo vincto exclamaret: *καὶ μὴν φίλοις ἐλεινὸς εἰςορᾶν ἐγώ.*

Equidem hunc Editorum in re pessimi exempli consensum maxime aversatus, collectis sedulo omnibus scriptorum Graecorum indiciis ac testimoniis quae ad Agamemnonem pertinerent, ne latum quidem unguem a Codicum auctoritate discedendum mihi arbitratus sum, singularem Lycurgi oratoris prudentiam admiratus. Mirabitur fortasse aliquis obstinatum animum, qui ne iis quidem locis (v. c. vs. 645, 881, 1119, 1462, 1563), ubi Aeschyli manus iam pridem communi iudicio restituta fuit, me demoveri de consilio passus sim; haud mirabitur qui reputaverit, quam difficile sit in eo modum servare et non admittere nisi ea quae in controversiam venire non amplius possint. Rem exemplo illustrabo; vs. 1303 *πρεπόντων*, omnium interpretum consensu corruptum, quum maxime genuinum sit, corrigam cum Herm. restituens *πρέπον τῷδ'*; Intercedet Martin, iubens me legere pro *πρεπόντων ὥστ' πρέπον τῳ σῶστρ'·* obstabit Keck, moniturus, simplicius legi debere *πρέποντα σῶστρ'·* ridebit me Aeschylus, ad sua me non sine stomacho revocans et Agamemnonis memor me monens: *τὸ μὲν καλῶς ἔχον ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον.*

ΑΙΣΧΥΛΟΥ

ΑΓΑΜΕΜΝΩΝ.

Ὑπόθεσις Ἀγαμέμνονος [1].

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ εἰ πορθήσει [2]) τὸ Ἴλιον [3]) ὑπέσχετο [4]) τῆς αὐτῆς ἡμέρας σημαίνειν [5]) διὰ πυρσοῦ [6])· ὅθεν [7]) σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη [8]) τὸν πυρσόν· καὶ ὁ μὲν [9]) ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν [10]) τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ [11]) ἐροῦσα [12])· ἐξ ὧν καὶ [13]) ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι [14])· μετ' οὐ πολὺ δὲ καὶ [15]) Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ [16]) ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ [17]) ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. Αὐτὸς μὲν οὖν προεισέρχεται [18]) εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ [19])· Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰςελθεῖν [20]), τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος [21]) θάνατον καὶ τὴν ἐξ Ὀρέστου [22]) μητρο-

---

1) Ὑπ. τοῦ προκειμένου δράματος F. (add. παλαιόν). 2) πορθήσοι G. Marc. R. πορτήσοι A. T. 3) τὸν Ἴλιον R. 4) Om. G. Marc. A. R. T. 5) κατ' αὐτὴν σημ. τὴν ἡμέραν F. 6) διὰ τοῦ πυρσοῦ G. σημ. ἔφη διὰ π. A. R. T. 7) ὅπερ Marc. 8) ὥστε σκοπεῖν F. 9) ὁ μὲν οὖν F. (om. καί). 10) om. G. Marc. A. R. T. 11) πυρροῦ (σ supra scr.) Marc. 12) ἐρῶσα (ου sup. ω scr.) Id. μετ. ὄχλ. ἐρ. π. τ. π. Fl. F. 13) δὴ καὶ F. 14) παιανίζειν G. παιανίζουσιν Marc. παιανιάζουσι A. R. 15) καὶ om. Fl. 16) δὲ ἐπὶ Fl. F. Marc. 17) δὲ αὐτῷ Fl. δὲ αὐτῷ καὶ F. 18) προςήρχετο Fl. προςέρχεται F. 19) ὑπαντησάσῃ αὐτῷ add. F. 20) ἐλθεῖν Fl. εἰςελθ. τὰ βασ. F. 21) τε καὶ Ἀγ. F. 22) τὴν Ὀρ. F.

κτονίαν, καὶ εἰςπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. Τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται [23]), ὡς καὶ ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν [24]). Ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας [25]) σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε [26]), πεποίηκέ τε [27]) Αἴγισθον [28]) καὶ Κλυταιμνήστραν ἑκάτερον διϊσχυριζόμενον [29]) περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ, τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας [30]), τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου [31]) ἐξ Ἀτρέως συμφοραῖς [32]).

Ἐδιδάχθη [33]) τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους Ὀλυμπιάδι ὀγδοηκοστῇ [34]) ἔτει δευτέρῳ [35]). Πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ [36]) σατυρικῷ· ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς [37]).

Τὰ τοῦ δράματος πρόςωπα· φύλαξ· χορός [38])· ἄγγελος [39])· Κλυταιμνήστρα [40])· Ταλθύβιος κῆρυξ [41])· Ἀγαμέμνων· Κασάνδρα· Αἴγισθος [42]).

Προλογίζει ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος [43]).

---

[23]) θαύμαστόν ἐστιν Fl. F. [24]) Explevi sententiam; — ὡς καὶ ἔκπλ. καὶ οἶκτ. ἱκ. ἐμπ. Fl. F. V. C. ὡς ἔκπλ. ἔχον καὶ οἶκτ. ἱκανόν G. Marc. A. R. T. [25]) Κασάνδρα Marc. [26]) ἀπέδειξε Fl. ἀποδείκνυσιν F. ὑπέδειξεν Marc. A. R. [27]) δὲ F. πεποίηκέν τε Marc. A. [28]) Αἴγιςον Fl. [29]) διϊσχυριζομένους F. (om. ἑκ.) [30]) τὴν ἀναίρεσιν Ἰφ. προβαλλομένην F. [31]) Ὀρέστου G. Marc. A. R. Αἰγίςου (b sup. ς) Fl. τὸν δὲ τὴν Θυέστου F. [32]) συμφοράν F. [33]) ἐπιδάχθη (ἐδιδάχθη ex corr.) δὲ Fl. [34]) Ita Meurs. in Aesch. (Graev. Thes. Ant. Gr. X, 397) κη′ Fl. Marc. κ᾽η′ F. εἰκοστῇ ὀγδόῃ A. R. T. V. C. [35]) β. Marc. [36]) πρῶτος Fl. [37]) πρῶτος — Ἀφ. om. F. [38]) γερόντων add. F. (πρεσβυτῶν adsc. ad vs. 40 in M. G. Fl.) [39]) om. F. [40]) Ἠλέκτρα add. V. C. Ὀρέστης, Ἠλέκτρα T. [41]) κήρ. Ταλθ. F. [42]) Αἴγιςος. Fl. τροφός add. T. [43]) προλ. δὲ Fl. V. C. θερ. Ἀγ. om. F. πρ. δὲ ὁ θερ. Ἀγ. Ven. θερ. Ἀγ. ὁ προλογιζόμενος (ὁ προλογίζωμενος G. — mut. ex ὁ προλογίζων), οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς M. G. Marc. Etiam A. T. addito φύλαξ. Θερ. Ἀγ. ὁ προλογιζόμενος R.

Φυ. *Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων*
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν κυνὸς δίκην

---

1. — *Ἡ* (om. V.) *εἴσθεσις τοῦ* (*παρόντος* add. V.) *δράματος ἐκ συστηματικῆς* (*μονοστροφικῆς* V.) *ἐστὶ περιόδου· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λη', ὧν τελευταῖος μ α θ ο ῦ σ ι ν α ὐ δ ῶ κ ο ὐ μ α θ ο ῦ σ ι λ ή θ ο μ α ι· μετὰ δὲ τὸν κδ' κῶλον ἰαμβικὸν μονόμετρον* (*δίμετρον* V.) *ἀκατάληκτον* F. V. In F. add. *ἐπὶ τῷ τέλει κορωνὶς εἰσιόντος τοῦ χοροῦ* (*Ἡμέτ.*).

In F. supra textum: *τ ὸ π ρ ο ο ί μ ι ο ν ε ὐ κ τ ι κ ό ν.* — (1) *θ ε ο ύ ς· τούς* F. — *α ἰ τ. ζητῶ* F. — *ἀπ. ἐλευθερίαν* F.

2. *ἐτείας· μῆκος δ' ἦν* M. *ἐτείας, μῆκος δ' ἦν* G. A. *ἐτείας. μῆκος δ' ἦν* Marc. *ἐτείας μῆκος δ' ἦν* B. *ἐτείας, μῆκος δ' ἦν* R. *ἐτείας μῆκος ἦν* T. *ἐτείας μῆκος ἦν* Fl. *ἐτείας μῆκος, ἦν* V. (Sch. *γράφεται καί, μῆκος δ' ἦν*) C. *ἐτείας. μῆκος ἦν* F. *ἐτείας μῆκος. ἦν* Ven.

(2) *τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς.* M. Marc. G. Fl. R. V. *φυλακῆς λέγω τῆς χρονίας* F. — *μ ῆ κ. ἐπὶ* F. *ἐπὶ μῆκος δ' ἦν κοιμώμενος* Fl. *ἦν ἐπὶ μ. κ.* M. G. R. *ἐπὶ μακρὸν λέγει* Fl. — *κ ο ι μ. ἀνακλινόμενος* Fl. F. *ἀστείως εἴρηται* (*ἀστ. εἴρ.* om. V.) *τὸ κ ο ι μ. οὐκ ἐπὶ ὕπνου* (*κ. ἐπὶ μὴ ὑπνοῦντος* F.)· *πῶς γὰρ ἂν καὶ φρουροῖ* (*φρουροίη* F.) *καὶ ἄστρα βλέποι ὁ* (*τις* F.) *ὑπνῶν; ἀλλ' ἐπὶ ἁπλῆς ἀνακλίσεως* (*ἐπὶ ἀνακλ. ἁπλῶς εἴρηται* F.), *ἵνα* (*ἵν'* F.) *εἴη* (*ᾖ* V.) *ὁ φύλαξ οὗτος κοιμ. καθὰ καὶ κύων ἐν φυλακῇ νυκτερινῇ* Fl. F. (*Σχ. π.*) V. In F. add. *π ρ ώ τ η κ α τ α σ κ ε υ ή.*

(3) *στ. ἐν τοῖς οἴκοις* F. — *Ἀ τ ρ. τῶν* F. — *ἄ γ κ. ἀνέκαθεν, ἄνωθεν, ἐξαρχῆς* Fl. *τὸ ἄ γ κ. κατὰ συγκοπὴν ἀντὶ τοῦ* (*τοῦ* om. R.) *ἀνέκαθεν, τουτέστιν ἄνωθεν, ἐξαρχῆς* (*ἐξ ἀρχῆς* G. R. V.) M. Marc. G. R. V. *ἐν ἀγκάλαις* F. — *κ υ ν. δ ί κ. πρὸς τὸ φυλακτικὸν καὶ φιλοδέσποτον* M. Marc. G. R. *διὰ τὸ φ. καὶ* (*τε καὶ* F. V.) *φυλοδέσποτον* (*φιλοδ.* V.) Fl. F. V. In F. add. *καὶ ὅτι κρύπτων καὶ αὐτὸς τὴν κεφαλὴν ὑπὸ τοῖς ποσὶ ποιεῖται τὴν φυλακὴν τῶν οἴκων κατὰ τὴν νύκτα* (*Σχ. π.*).

[3] Hes. *ἀγρίαθεν* (*ἄγκαθεν* corr. *Fl. Christ.* ad Arist. Vesp. 2). *ἀνέκαθεν. Αἰσχύλος Ἀγαμέμνονι.*

ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν·
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρας ὅταν φθίνωσιν ἀντολάς τε τῶν.
Καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἀλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
Εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω

---

4. *νεκτέρων* Marc. R.

(4) *κάτ.* *γινώσκω, ἔμαθον* F. — *ὁμ.* *ἤτοι τὸ πλῆθος* F.

[4] Ach. Tat. *Isag. in Arati Phaen.* p. 81: *πάλιν δ' Αἰσχύλος ἐν Ἀγαμέμνονι τῷ κατασκόπῳ τὴν ἐμπειρίαν περιτίθησι, ποιῶν λέγοντα· ἄστρων — αἰθέρι.*

(5) *χειμ.* *ἤγ. χειμῶνα καὶ θέρος* F. — *βρ.* *τοῖς* F.

6. *αἰθέρι* B.

(6) *δυν.* *τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημᾶναι τοὺς καιρούς* M. G. Fl. R. V. *ἄρχοντας τῶν καιρῶν* F.

(7) *φθ.* *δύνωσιν* Fl. F. — *ἀντ.* *τὰς ἀνατολάς* F. — *τῶν·* *τούτων* F.

(8) *φυλ.* *μηνύω* Fl. *ἐπιτηρῶ* F. — *λαμπ.* *ἤτοι τοῦ φρυκτοῦ* F. — *τὸ σ.* *τὸ σημεῖον* F. In F. add. *ἑτέρα κατασκευή.*

(9) *αὐγ. π.* *ἤγ. φρυκτωρίας λάμψιν* F. — *φάτ.* *φήμην τῆς νίκης καὶ τῆς ἁλώσεως* F.

10. *κρατεῖν* B. — (*γράφεται· κρατεῖ — ἐλπίζον* Steph. p. 378).

(10) *ἁλ.* *πορθητικήν* F. — *βάξ.* *φήμην* Fl. F. — *ὧδε·* *οὕτω* F. — *κρ.* *ἤγ. κρατεῖται* Fl.

11. *ἐλπίζω* (*ον* supr.) B.

(11) *γυν.* *τῆς Κλυταιμνήστρας* F. — *ἀνδρ.* *τὸ* (*τὸν* R.) *μείζονα ἢ κατὰ γυναῖκα* (*τὸ κατὰ ἄνδρα* F.) *βουλευόμενον*, (comma om. R.) *γενναῖον, ἢ κατ'* (*κατὰ* R. V.) *ἀνδρὸς βουλευομένης* (*βουλευόμενον* Fl. V.) M. G. Fl. R. V. — *ἐλπ.* *ἐλπίδα ἔχον* Fl. — *κέαρ.* *ἡ ψυχή* F.

[11] Io. Sicil. (ap. Walz. Rhet. VI, 225): *διὸ καί φησιν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις* (cf. Nub. 1371) *ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνοποιόν, ὡς φαντασίας ἐχόντων κρημνωδῶν καὶ φραγμωδῶν· ὡς κἂν τῷ Ἀγαμέμνονι· γυναικὸς ἀνδρόβουλον ἐλπίζων κέαρ. Ἡ γὰρ λέξις σκληρά, καὶ ὁ ἦχος πάντων τοιοῦτος.*

12. *ὅταν* Ven. *νυκτίπλακτον* F.

(12) *εὖτ' ἄν.* *ἡνίκα* F. *ὁπότε φυλάσσω* Fl. — *νυκτ.* *ἐν νυκτὶ πλανωμένην, ἄγρυπνον* F. — *ἐνδρ.* *διὰ τὸ ὑπαίθριον κεῖσθαι* F. In F. add. *βάσις.*

εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμήν· φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
Νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.

Ὦ χαῖρε, λαμπτὴρ νυκτός, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.

---

(13) *εὐν. κοίτην* F. — *ὀν. ἤγ. ἄγρυπνον· οἱ γὰρ ἀγρυπνοῦντες οὐ βλέπουσιν ὀνείρατα* F.

(14) *ἢ περισσὸς ὁ γάρ, ἢ λείπει τὸ ἀλύων.* M. G. R. V. (*ἀλύω* l. De P.) — *παρ. ἔρχεται* Fl. *παρίσταται, ἐπέρχεται* F.

(15) *συμβ. συγκλεῖσαι* F.

16. *ὅτ' ἂν* M. G. Marc. A.

(16) *ἤγ. χαρμόσυνα μέλπει, θρηνητικὰ ᾄδει* F. *τοῦτο κατὰ τὴν παροιμίαν φησὶ τὴν λέγουσαν· φρουρᾶς ᾄδει* F. (*Σχ. π.*) — *μιν. λέγειν, κλαίειν* Fl.

(17) *ἀντ. τὸ ἐναντιούμενον* (*ἐναντίον* F.) *πρὸς τὸν ὕπνον* Fl. F. — *ἐντ. ποιῶν* F.

(18) *συμφ. τὴν οὖσαν διὰ τὴν μοιχείαν Αἰγίσθου* F.

(19) *οἴκου διαπονουμένου οὐκ ἄριστα ὡς τὸ πρόσθεν* M. G. R. V. *οὐ διαπ. καὶ διοικουμένου ἄριστα ὡς πρόσθεν, ἤγ. καλῶς* F. — *διαπ. οἰκονομουμένου τοῦ οἴκου* Fl.

(20) *ἀπ. ἐλευθερία* F.

(21) *ὀρφν. σκοτεινοῦ* Fl. *νυκτερινοῦ* F.

(22) *δεῖ διαστήματος ὀλίγου* (*ὀλίγον* R.) (*ἐνταῦθα* add. in F. V.), *εἶτα ἀνακραγεῖν ὡς θεασάμενον τὸν πυρσόν* M. G. Fl. F. (*Σχ. π.*) R. — *λαμπτ. ν. ὦ λαμπτὴρ τῆς νυκτὸς χαῖρε, ὁ διδοὺς ἡμῖν φωταυγῆ ἡμέραν* F. (*Σχ. π.*) — *νυκτ. ἡμ.* (*τὸ δὲ νυκτὸς ἀντὶ τοῦ* Fl.) *ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς* (*δοῦσιν* M. G. *ἰδοῦσιν* R.) Fl. M. G. R. V.

23. *πιφαυσκον* M. *πιφαυσκων* (corr. ex *πιφασκων*) G.

(23) *πιφ. φαίνων* F. — *χορ. ἤγ. εὐφροσύνης* F.

(24) *συμφ. τοῦ συμβάντος ἁπλῶς* F.

ἰοῦ ἰοῦ.
Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς,
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι·
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι,
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.

---

25. ἰοῦ ἰου M.

26. σημαίνω Marc.

(26) σημ. δηλώσω F. — τορ. μεγαλοφώνως M. G. R. V. ἀληθῶς ἢ ὀξέως F.

27. ἐπαντειλασα Marc.

(27) εὐν. ἐξ F. — ἐπ. ἐγερθεῖσαν Fl. ὡς ἐπὶ ἄστρου ἢ σελήνης (ὡ. ἐ. ἄστρον ἢ σελήνην R.) M. G. V. δίκην ἄστρου φαινομένην F. — δόμ. ἐν F.

(28) ὀλ. εὐχὴν παρὰ τοῖς παλαιοῖς Fl. μετὰ θρήνου ὕμνον F. — τῇδε λ. τῇ φρυκτωρίᾳ F.

(29) ἐπ. ὀξέως ποιεῖν προςφέρειν ἐκείνῃ F. — Ἰλ. τοῦ F. Ἰλ. π. ἤτοι τὸ Ἴλιον F.

(30) ἑάλ. πεπόρθηται F. — ὁ φρ. ὁ φανός F. — ἀγγ. πρ. διαπρεπῶς σημαίνει M. G. R. V. διαπρεπής ἐστιν Fl. — ἀγγ. μηνύων F. — πρ. διαπρέπει F.

(31) αὐτ. πρὸ τῆς Κλυταιμνήστρας M. G. R. V. ἤγ. πρῶτος, τουτέστι πρὸ τῆς Κλ. F.

32. πεσόντα R.

(32) εὖ π. θ. οἰκειώσομαι M. G. R. V. — πεσ. ἐπελθόντα, γεγονότα F. — θήσ. ἤγ. δείξω F. διὰ τῆς ἡμετέρας εὐφροσύνης καὶ τῆς χορείας δείξω καὶ ἐγὼ τὰ συμπεσόντα νῦν τοῖς δεσπόταις ὡς καλῶς ἔπεσον· καὶ ἐγένοντο F. (Ἡμ.)

[32] Suid. τρὶς ἓξ ἢ τρεῖς κύβοι· — ὅτι δὲ ὁ τρὶς ἓξ βαλὼν κατώρθου, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι περίστησι· τὰ δεσποτῶν γὰρ εὖ πεσὸν παθήσομαι τρὶς ἓξ βαλοῦσα τῆς ἐμῆς φρυκτωρίας. Eadem in Phot. *Lex.* sed correctius ita: πεσόντα θήσ. et βαλούσης.

33. φρυκτορίας G.

(33) παροιμία τὸ τρὶς ἓξ βάλλειν ἐπὶ τῶν ἄκρως εὐτυχούντων (Fl.). ἐπεὶ καὶ τοῖς κυβευταῖς οὐκ ἔστι πλείω τούτων εὐθυβολῆσαι (εὐβολῆσαι Hemst. ad Luc. I. p. 487) F. V. καὶ παροιμία (κατὰ παροιμίαν M. ἔστι

Γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί·
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· — οἶκος δ' αὐτὸς εἰ φθογγὴν λάβοι
σαφέστατ' ἂν λέξειεν· — ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὺ μαθοῦσι λήθομαι.

Χο. Δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου

δὲ καὶ π. V.) *ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.* G. R. M. V. *λέγουσι δὲ ταὐτὸν καὶ ἑτέρως· ἀεὶ — κύβοι* F. (*Σχ. π.*) *ἤγ. εὐτυχῶς ἀποβάσης ἐμοὶ τῆς τοῦ πυρσοῦ φυλακῆς, ἐλθόντος δεσπότου* F.

34. *γένοι* Marc.

(34) *μολ. ἐλθόντος δεσπότου* F.

(35) *ἄν. τοῦ Ἀγαμέμνονος* F.

(36) *βοῦς. παροιμία ἐστὶν* (*ἐστὶ τὸ βοῦν ἐπὶ γλώττης φέρει* F.) *ἐπὶ τῶν ἀλάλων* (*ἐπὶ τῶν μὴ λαλούντων διά τινα αἰτίαν· λέγει οὖν καὶ οὗτος* F.) Fl. F. *ἢ* (*ἀντὶ τοῦ* add. in Fl. F.) *βάρος* (*μοι* add. in F.) *ἐπίκειται, ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι* M. G. Fl. F. (*Σχ. π.*) V. *Παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι* (R.). *Ἄλλως· παροιμία ἐπὶ τῶν ἀλάλων* V.

(37) *βέβ. ἐπίκειται* F. — *φθ. ἤγ. φωνήν* F.

38. *λέξει* Fl.

(38) *σαφ. φανερῶς* F. — *λέξ. εἴποι* F. — *ὡς. ὅτι* F.

(39) *μαθ. τὴν μοιχείαν τῆς Κλυταιμνήστρας* Fl. *τοῖς γινώσκουσι τὰ περὶ τῆς μοιχείας* F. — *αὐδ. λέγω* F. — *λήθ. προσποιοῦμαι ἐπιλελῆσθαι, ἤγ. μὴ εἰδέναι* F.

40. *ἐπεὶ Πριάμῳ* Marc. *ἐπεὶ Πριάμου* F.

40. — *Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων σλβ', ὧν τὰ μὲν ξδ' ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα. Ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. Καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ, καὶ δίμετρα ἀκατάληκτά τινα καὶ μονόμετρα ξδ'. Ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο· καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ ἀκατάληκτα καὶ ἡμιόλια καὶ πενθημιμερῆ, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρδ', ὧν τελευταῖον γαίας μονόφρουρον ἕρκος.* V. — *Στροφὴ συστηματικὴ κώλων ξδ'.* F. — *Τὰ* (*δὲ* add. V.) *τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῇ ἀρχῇ τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα· τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων*

μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
στόλον Ἀργείων χιλιοναύταν
τῆςδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγὰν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη

(ἐ. ὁμ. om. V.) κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν· εἰσὶ δὲ τὰ κατὰ σχέσιν στροφαὶ (στροφῶν V.) ἕξ. Ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ξδ', ὧν τὰ μὲν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα· τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικὰ, ἤτοι (ἤγουν V.) ἑφθημιμερῆ. Ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος. F. (Ἡμ.) V.

(40) ἔτ. τόδ'. ἐστὶ F. — ἐπ. ἀφ' οὗ Fl. F.

[40] Schol. *ad Arist. Eqq.* 586: ὁ δὲ (χορὸς) τραγικὸς ιε', ὡς Αἰσχύλος Ἀγαμέμνονι. Om. in antt. Codd. — Schol. Barocc. 74 *ad Eur. Phoen.* 239 (Valck. ib. p. 802): ἰστέον δὲ ὅτι τῷ τοιούτῳ χρῶνται οἱ ποιηταὶ σχηματισμῷ ἐν τοῖς χοροῖς, τὰ μὲν μονοστρόφως καὶ κατὰ συστήματα ἐκφέροντες, τὰ δὲ κατὰ σχέσιν, ὅτε διηγηματικὸν ποιοῦσι τὸν λόγον. Τούτου τοῦ σχήματός ἐστι — παρ' Αἰσχύλῳ ἐν ἑπτὰ ἐπὶ Θήβαις τὸ θρέομαι — ἄχη (78), ἐν δ' Ἀγαμέμνονι ὀνομαζομένῳ δράματι αὐτοῦ τὸ δέκατον — ἐπεὶ Πριάμου — ἄναξ.

(41) ἀντ. ἀντὶ τοῦ (om. in F.) ἐχθρός. ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν (ἡ μεταφορά add. in F.) M. G. F. R. V. In Fl. adscr. ad h. vs. et 46, 49, 51 (στροφοδινοῦνται) μονόμετρον.

(42) ἠδ'. καὶ F.

(43) Διόθ. ἐκ Διὸς γὰρ ἡ βασιλεία δίδοται F.

(44) ὀχ. ἰσχυρὸν F.

45. (Sch. γράφεται καὶ Ἴλιον (Ἴλιον R.) αὐτάν R. V.)

(45) Ἀργ. ἀπὸ μέρους· τῶν Ἑλλήνων F.

(46) τῆςδ'. τοῦ Ἄργους, ἢ τῆς Ἑλληνικῆς F.

47. ἦραν G. A. — στρατιῶτιν A.

(47) ἦρ. ἐκίνησαν F. — στρ. στρατιωτικὴν F. — ἀρ. βοήθειαν F.

48. (γράφεται κλάγξαντες St. l. l.)

(48) ἐκ θ. οὐ γὰρ (γ. om. F.) γλώσσῃ ἀλλ' ἔργῳ θυμούμενοι M. G. F. R. (is addit: τοῖς ἔξω τῆς ὁδοῦ. οὔτ' ἐπακτίοις. οἵτινες —. cf. 50) V. — κλ. βοήσαντες Fl. F. ἠχήσαντες F. — Ἄρη. Ἀττικῶς· κοινῶς Ἄρην Fl.

τρόπον αἰγυπιῶν,
οἵ τ' ἐκπατίοις ἄλγεσι παίδων
ὕπατοι λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες.
Ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων,
ἢ Πάν, ἢ Ζεύς, οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων

---

(49) *τρ.* *δίκην* F. — *αἰγ.* *ἀετῶν* F.

50. (*γράφεται ἐπακτίοις* St. p. 894). — *ἄλγεσσι παίδων* V. C.

(50) *ἐκπ.* *τοῖς ἔξω τῆς ὁδοῦ* M. G. F. V. (qui praem. *ἄλλως*). *πάτος γὰρ ἡ ὁδός· ἢ* (om. in Fl.) *ἐκπατίοις λεχέων ἀντὶ τοῦ τοῖς ἔξω τῆς οἰκίας αὐτῶν* (*αὐτ. οἰκ.* Fl.)· *τὸ δὲ ὅλον· οἵτινες ἀπολέσαντες τὸν πόνον* (*τοὺς πόνους* V.) *τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων* (*οὕτω γὰρ ὤφειλεν εἰπεῖν*) *στροφοδινοῦνται ἐν ἄλγεσι τῶν παίδων ἐκπατίοις. ὕπατοι, ἤγ. ὑπεράνω τῶν λεχέων, πληττόμενοι ταῖς πτέρυξιν αὐτῶν· δέον δὲ εἰπεῖν ἐκπατίων παίδων, ἐκπατίοις εἶπε πρὸς τὸ ἄλγεσιν.* F. (*Ἡμ.*) V. *οἵτινες ὕπατοι ὄντες, ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρτ. τὸν — τηρούμενον, ἐπὶ τῶν λεχέων στροφ.* M. G. R. — *παίδ.* *αἰχμαλώτων* Fl.

(51) *ὕπ.* *ὑπέρτατοι, ἤτοι ὑπεράνω τῆς κωλιᾶς* (l. *καλιᾶς*) F. — *στρ.* *στρέφονται, περίπτανται* F.

(52) *ἀντὶ τοῦ πετόμενοι* Fl. — *πτ.* *κινήσεσιν* F. — *ἐρ.* *πληττόμενοι* F.

(53) *δεμν.* *ὃν εἶχον πόνον εἰς τὸ φυλάσσειν τὰ ἐν τῇ καλιᾷ τέκνα* F.

[53] Hes. *δεμνιοτήρη πόνον· Αἰσχύλος Ἀγαμέμνονι· καθόσον οἱ νεοσσοὶ ἔτι τοιοῦτοί εἰσιν, ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν, μηδέπω πέτεσθαι δυνάμενοι. πόνον δὲ τὰ περὶ τὴν τροφὴν αὐτῶν.*

(54) *ὀρτ.* *τῶν μηδέπω πετομένων* (*πεττομ.* R.) *νεοσσῶν* (*νεοττῶν* G. R. V.) M. G. R. V. *τῶν αἰχμαλώτων* Fl. *νεοσσῶν* F. — *ὀλ.* *ἀπολέσαντες· οὐ γὰρ ἔτι πονήσουσιν* F.

(55) *ὕπ.* *ὁ ὑπέρτατος* F. — *ἀΐων.* *ἐπακούσας* F.

(56) *Πάν.* *ὁ ὄρειος* M. Fl. In G. *ὁ ὄρειος* adscr. ad *Ἀπόλλ.* sed infra. — *οἰων.* *τὸν τῶν ἀετῶν θρῆνον* F.

(57) *ὀξ.* *τὸν μετ' ὀξείας βοῆς γινόμενον* F. — *τῶνδε μετ.* *τῶν μετοικισθέντων νεοσσῶν* F. *ὑπὲρ* (*ἐπὶ* R. V.) *τῶν μετοικισθέντων νεοσσῶν* (M. G. V. R.) *πέμπει τοῖς παραβᾶσι καὶ μετοικίσασιν αὐτοὺς ὕστερον τιμωρίαν* Fl. F. (*Σχ. π.*)

[57] Schol. *ad Soph. Oed. C.* 934: *μέτοικος· ἀντὶ τοῦ ἔνοικος· οὐ γὰρ*

ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
Οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου

αὐτὸ τοῦτο τὸ μέτοικος, ὡς ἡμεῖς φαμέν, εἴρηται, μετοίκους δὲ καλοῦμεν τοὺς ἀπὸ ἑτέρας χώρας μεταβαίνοντας καὶ κατοικοῦντας ἐν ἑτέραις [corrupte Cod. Elmsl. ap. H. et Suid. v. μέτοικοι ita: μετοίκους κ. τ. ἀ. ἑ. χώρας οἰκοῦντας πρὸς (πρὸς δὲ S.) τοὺς μετοικισθέντας ποθέν· τοῦτο δὲ σημαίνει (σημ. om. Cod.) ἔνοικον. Patet, τοὺς μετ. ποθὲν aliud scholium esse ad μετοίκους, tum οἰκ. πρὸς dictum esse pro προσοικοῦντας, quo pertinet τοῦτο δὲ ἔνοικον]. Κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν Ἀγαμέμνονι, λέγων οὕτως· τῶνδε μετοίκων (in Cod. add. ἀντὶ τοῦ ἐνοίκων)· μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς ἐκεῖ (in Cod. κἀκεῖσε pro ἐκεῖ) ἀντὶ τοῦ ἐνοίκους (ἀντὶ τῶν ἐνοίκων Cod.) Suid. post σημ. ἔνοικον haec habet: Αἰσχύλος τοὺς οἰωνοὺς τῶν ὑψηλῶν τόπων· ἀντὶ τοῦ ἐνοίκους. — Patet, varia conflata esse in unum; alius legens τῶν δὲ μετοίκων, adscripsit: ἀντὶ τῶν ἐνοίκων· alius ad τῶνδε μετ. scripsit: ἀντὶ τοῦ ἐνοίκων· μετ. — ἐκεῖ (in Agam.). Alius ad idem scr. μετ. — ἐκεῖ ἀντὶ τοῦ ἐνοίκους. Ad κἀκεῖσε (i. e. εἰς τοὺς ὑψ. τόπ.) fort. scriptum fuerat inepte μετοικισθέντων.

(58) ὑστ. ἤτοι ὕστερον F.

59. ἐρινυν Marc. ἐριννύν V. C.

(59) παρ. τοῖς F. ἤγ. τοῖς παρανόμοις ἐκείνοις F. τοῖς παραβήσασι καὶ μετοικήσασιν (μετοικίσασιν V.) αὐτούς M. G. R. V. — ἐρ. φθοράν, τιμωρίαν F.

(60) ὁ κρ. ὁ θεός F.

(61) ξέν. ὁ φίλιος F.

(62) πολ. (τῆς F. V.) πολλοὺς μνηστῆρας ἐσχηκυίας M. G. F. R. V. πολυάνδρου, ἐν ᾧ ζήτει καὶ Λυκόφρονος τὰ περὶ Ἑλένης εἰρημένα πεντάγαμβρα νυμφεῖα. (Alex. 146) F. (Σχ. π.) — γυν. τῆς Ἑλένης F.

63. γυιοβαρῆ R. (Id. in Sch. lemm. γαιοβαρῆ).

(63) παλ. ἀγωνίσματα, μάχας F. — γυιοβ. βαρέα καὶ μὴ ἐῶντα ἀνανεῦσαι τοὺς πίπτοντας M. G. R. V. βαροῦντα τὰ μέλη τῶν ἀγωνιζομένων F.

64. ἐριδομένου G. Marc. ἐρειπομένου (δο supr.) Fl.

(64) κον. ἐν τῇ γῇ F. — ἐρειπ. πίπτοντος F. Cf. vs. 606.

διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσιν
Τρωσί θ' ὁμοίως. Ἔστι δ' ὅπη νῦν
ἐστί· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκλαίων οὔθ' ὑπολείβων
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
Ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν, ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.

---

(65) *διακν.* *διακναιούσης* M. G. *λυπουμένου διὰ τοὺς πολέμους* F. — *ἐν πρ.* *ἐν ἀρχαῖς* F. *πρὸ τῆς ἁλώσεως* Fl. *κυρίως ταῖς πρὸ γάμου θυσίαις· νῦν δὲ ταῖς πρὸ τῆς ἁλώσεως μάχαις* M. G. F. (*Σχ. π.*) R. V. *τὸ δὲ ὅλον οὕτω· πιπτόντων ἐπὶ γόνυ καὶ ἀμφοτέρων τῶν στρατευμάτων ὁμοίως, ἤτοι νικωμένων ἐν ἀρχαῖς τῆς μάχης, μέχρις ἂν τελεσθείη τὸ πεπρωμένον.* F. (*Σχ. π.*)

(66) *κάμ.* *δόρατος* Fl. *τοῦ δόρατος* F. — *Δαν.* *τοῖς Ἕλλησιν* F.

(67) *ἔστι·* (*παρὰ τὸ* R. V.) *καὶ τὸ* (*τῷ* G.) *μὲν ὥς κε πέλει τῶς* (*τῷ. σ'* G.) *ἔσται* M. G. R. V. cf. Ap. Rh. II. 345.

(68) *τὸ πεπρ.* *τὸ μεμοιρασμένον* F.

(69) *ὑποκλ.* *λείπει τὸ τίς* M. G. *λείπει τίς* F. *τὸ τὶς λείπει* V. — *ὑπολ.* *σπένδων* F.

(70) *ἀπ. ἱερ.* *τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων* (*Ἐριννύων* R. V.), *ἃ καὶ νηφάλια* (*νιφάλια* G.) *καλεῖται* M. G. R. V. *ἤγ. τῶν Ἐριννύων* F.

(71) *ἀτ.* *μεγάλας, ἐκτεταμένας* F. — *παρ.* *ἤγ. παρακρούσεται θέλξας* F. *δέον εἰπεῖν· οὐ θέλξει τὰς ὀργὰς τῶν Ἐριννύων τῶν δεχομένων τὰ ἄπυρα ἱερὰ, ἤγ. τὰς ἀπύρους θυσίας· ὁ δὲ τὰς ὀργὰς εἶπε τῶν ἀπύρων ἱερῶν· εὐτελῆ γάρ τινα ταύταις ἔθυον μὴ δεόμενα πυρός.* F. (*Ἡμ.*)

72. *ἀτίτα ισαρκὶ* M. *ἀτίταια* B.

(72) *ἀτ.* *ἤγ. βεβλαμμένοι* F. *βλάβην ἔχοντες ἀπὸ τοῦ γήρως* Fl. — *σ. π.* *γήρει* Fl. *ἤτοι τῷ γήρᾳ* F.

(73) *ἀρ.* *βοηθείας* F.

(74) *μίμν.* *μένομεν ἐνταῦθα* F. — *ἰσχ.* *δύναμιν, ὑπηρεσιν* (l. *ὑπηρέτησιν*) F.

75. *ἰσοπεδα* Marc. R.

(75) *ἰσ.* *ἤγ. ἀσθενῆ καὶ οἷα ἡ τῶν παίδων* F. — *νέμ.* *παρέχοντες* F. *σκ.* *τῇ βασιλικῇ ἐξουσίᾳ* F.

Ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ ἔνι χώρᾳ·
τόθ' ὑπέργηρως φυλλάδος ἤδη
κατακαρφομένης τρίποδος μὲν ὁδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ἡμερόφαντον ἀλαίνει.

Σὺ δέ, Τυνδάρεω
θύγατερ, βασίλεια Κλυταιμνήστρα,

---

(76) *νεαρ. ὁ νέος, ἤτοι ὁ τῶν νέων* F. — *μυελ. ἤγ. ἡ τῶν μελῶν δύναμις* F.

(77) *ἀν. ἄρχων, ἰσχύων* F.

78. *ἔνι χώρωι* M. *ἐπὶ χώρα* B. *ἐνὶ χώρᾳ* Marc. *ἔνι χώρα* Fl.

(78) *ἰσ. ἴσος τῷ τῶν γηραιῶν, ἤγ. ἀσθενής ἐστι* F. — *ἄρ. βοήθεια* F. — *ἔνι χ. τῷ τόπῳ ἐκείνῳ* M. G. V. *ἐξ ἐκείνων, ἤγ. τῶν νέων, τῶν παίδων* F.

79. *τίθιπερ γήρως* M. *τίθι περ γήρως* G. Marc. A. *τό θ' ὑπέργηρων* F. *τόθ' ὑπέργηρων* V. C.

(79) *τό θ' ὑπ. ἤγ. τὸ πολλὰ γηρᾶσαν* (l. *γηράσαν*) F. — *φυλλ. κόμης* Fl. *ἤγ. τοῦ ἄνθους τῆς νεότητος* F.

(80) *κατ. ξηρανθείσης* Fl. F.

(81) *στ. πορεύεται* F. — *παιδ. νέου βρέφους* F. — *οὐδ. ἀρ. οὐδαμῶς κρείττων, ἀλλ' ἴσος* F.

82. *ἡμερόφατον* Marc. *ἡμερόφαντον* Fl.

(82) *ὄν. ὡςανεὶ ὄναρ ὁ γέρων* Fl. *ὄν. ἡμ. ἤγ. ὄναρ ἐστὶν ὁ γέρων ἐν ἡμέρᾳ φαινόμενον* F. — *ἀλ. ἀλᾶται* M. G. R. V. *πλανᾶται ὁ γέρων* F. (76—82) *τοῦτο εἰπεῖν διὰ τούτων βούλεται, ὅτι ὥςπερ τῶν νεαρῶν παίδων ἡ δύναμις ἴση ἐστὶ τῇ τῶν πρεσβυτῶν, ἤγ. ἀσθενὴς, καὶ οὐκ ἔστιν ἐξ αὐτῆς βοήθειά τις τῇ χώρᾳ, οὕτω καὶ οἱ ὑπεργηράσαντες ἄνθρωποι ξηρανθείσης τῆς ἀκμῆς αὐτῶν τῆς ἐκ τῆς νεότητος, πορεύονται μὲν ὁδοὺς τρίποδος, τουτέστι διὰ βακτηρίας ποιοῦνται τὴν πορείαν, πλανῶνται δὲ καὶ περιφέρονται ὥςπερ ὄναρ ἡμερινὸν, οὐδὲν διαφέροντες τῶν ἀσθενῶν παίδων. Πρῶτον δὲ οὐδετέρως εἰπὼν τὸ ὑπέργηρων, εἶτα ἀρσενικῶς ἐπέφερε τὸ ἀρείων πρὸς τὸ σημαινόμενον, ἤτοι πρὸς τὸν γέροντα* F. (*Ἡμ.*)

83. *Τυνδάρεω* (ου supr.) M.

(83) *Τυνδ. τοῦ* F.

84. *Κλυταιμήστρα* Marc.

(84) *θύγ. ὦ* F. — *βασ. βασίλισσα* F.

τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θυοσκινεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
Τούτων λέξαις ὅ τι καὶ δυνατὸν

---

(85) τί χρ. διατί; M. G. V. διατὶ; R. — ἐπ. νοήσασα F.

(86) τίν. ἤγ. ὑπὸ ποίας ἀγγελίας πεισθεῖσα F.

87. θυοσκοεῖς T.

(87) περίπ. ἤγ. δι' ἐπιστολῆς θυσίαν πέμπεις Fl. ἤγ. πανταχοῦ διαπέμπουσα F. — θυοσκ. θύματα κινεῖς, πέμπεις F. εὕρηται καὶ θυοσκοεῖς, ὡς ἀπὸ τοῦ θυοσκόος, ὁ διὰ θυσιῶν τὸ μέλλον κοῶν, ἤτοι νοῶν· θύος γὰρ τὸ θῦμα F.

(88) ἀστ. τῶν μεμερισμένων κατὰ τὸ ἄστυ F.

(89) ὑπ. τῶν ἐξόχων F. — χθ. τῶν ὑπὸ γῆν F.

(90) ἀγ. τῶν κατὰ τὴν ἀγορὰν ὄντων F.

(91) βωμ. ναοί F. — δωρ. θυσίαις Fl. θύμασι F. — φλ. λάμπουσι Fl. λάμπονται καιομένων τῶν θυμάτων F.

(92) οὐρ. ἤγ. μεγάλη καθ' ὑπερβολὴν F.

(93) ἀν. ἀναλάμπει F.

94. χρίματος R. (Id. in Sch. lemm. χρίσματος).

(94) φαρμ. βαπτομένη Fl. θεραπευομένη F. ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τοῦτο εἴρηται τῶν διά τινων φαρμάκων καὶ χρισμάτων μαλακῶν καὶ καθαρῶν θεραπευόντων τοὺς ἀσθενοῦντας F. (Ἡμ.) — χρ. τοῦ ἐλαίου M. G. Fl. F. R. V. — ἁγν. καθαροῦ F.

(95) ἀδ. καθαραῖς F. — παρ. θεραπείαις F.

96. μηχόθεν R. (In Sch. l. μύχοθεν).

(96) πελ. θύματι F. — μυχ. σκοτεινῷ Fl. ἤγ. ἐκ τῶν μυχῶν, τουτέστι τῶν θαλάμων τῶν βασιλείων F. λείπει (om. R.) κομιζομένων M. G. R. V.

97. λέξασ' Marc.

(97) ὅ τι ἐστι F.

καὶ θέμις αἰνεῖν,
παιὼν τε γενοῦ τῆςδε μερίμνης,
ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τὴν θυμοφθόρον λύπης φρένα.

Κύριός εἰμι θροεῖν ὅδιον, κράτος αἴσιον ἀνδρῶν

---

(98) *θέμ. δίκαιον* F. — *εἰπ. πρὸς ἡμᾶς* F.

99. *παιὼν* Fl.

(99) *παιών· θεραπευτής* Fl. F. *ἰατρός* F. — *τῆςδε μερ. τῆς ἡμῶν φροντίδος τῆς περὶ τούτου* F.

100. *ἣ νῦν* Marc.

(100) *ἥ· ἥτις δή* F. — *νυν· δή* F. — *τοτὲ· ἔσθ' ὅτε μὲν* M. R. V. *τοτὲ· ποτὲ* F. — *κακ. κακὰ διαλογιζομένη* F. — *τελ. ὑπάρχει* F.

101. *ἀγανὰ φαίνεις* Marc.

(101) *τοτὲ· ποτὲ* F. — *ἀγ. πραεῖα* Fl. *εὐφραντά* F. — *φαίν. δεικνῦσα* F.

102. *ἄπλειστον* Marc.

(102) *ἀμ. ἀποσοβεῖ* Fl. *βοηθεῖ* F. — *ἀπλ. τὴν ἀκόρεστον* F.

103. Ita Marc. *φρένα λύπης* T. (*λυπησίφρονα* Scal. Hinc fort. l. *λυπησίφρονα φθορόθυμον*).

(103) *ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός* M. G. R. V. *τὴν βιβρώσκουσαν τὴν ψυχὴν καὶ λυποῦσαν τὰς φρένας καὶ τὸν λογισμόν* F. — (100—103): *ἡ φροντίς, φησι, ποτὲ μὲν κακὰ διαλογίζεται περὶ τῶν ἀποδημούντων. δηλονότι φίλων, ποτὲ δὲ θυσίαν ποιοῦσα λαμβάνει χρηστὴν ἐλπίδα· ἥτις ἡ ἐλπὶς θεραπεύει τὴν τοιαύτην φροντίδα τὴν βιβρώσκουσαν τὴν ψυχὴν καὶ λυποῦσαν τὰς φρένας καὶ τὸν λογισμόν. Τῆξις γάρ φησι καρδίας* (cf. Schol. ad 395) *ἔμμονος λογισμός* (*perpetua commentatio abit in animi tabiem*). *Λυποφρένα δὲ γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς· δέον δὲ εἰπεῖν καὶ λυποφρένα, ἀσυνδέτως ἐπέφερεν.* F. (*Ἡμ.*)

104. — *Στροφὴ ἑτέρα κώλ. ιθ'.* F. — *Ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί, καὶ εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς τὰ* (om. V.) *κῶλα ιθ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Εἰσὶ δὲ τὰ πλείω μὲν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα καὶ πενθημιμερῆ· τινὰ δὲ καὶ δακτυλικὰ καὶ* (κ. om. V.) *ἰαμβικά. ἃ καὶ μετρήσεις ἑπόμενος οἷς πρότερον εἰρήκαμεν. Τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ καλεῖται ἐφύμνιον, καὶ*

ἐκτελέων· ἔτι γὰρ θεόθεν καταπνείει
πειθὼ μολπάν,

ἔστι δακτυλικὸν πεντάμετρον. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος· ἔστι δὲ τριὰς ἐπῳδική F. (*Ἡμ.*) V.

(104) *κύρ. ἥγ. δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον* (*ἐν ὁδῷ* add. in F.) *ἐξιοῦσιν* (*ἀγαθόν* add. in F.) M. G. Fl. F. R. — *ὁδ. τὸ ἐν τῇ ὁδῷ ὀφθὲν* M. G. Fl. R. V. Post *ἐξιοῦσιν* in Fl. *τὸ δὲ ὅδιον ἀντὶ τοῦ ἐνδοξότατον. — αἴσ. ἀγαθόν* F.

[104] Arist. *Ran.* 1276 *κύριός εἰμι θροεῖν ὅσιον κράτος αἴσιον* [1]) *ἀνδρῶν·*
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
1285 *ὅπως Ἀχαιῶν* [2]) *δίθρονον κράτος Ἑλλάδος ἥβαν* [3]),
τὸ φλαττοθραττοφλαττόθρατ,
Σφίγγα δυςαμερίαν [4]), *πρύτανιν κύνα, πέμπει,*
τὸ φλαττοθραττοφλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι [5]) *θούριος ὄρνις* [6]),
τὸ φλαττοθραττοφλαττόθρατ,
κυρεῖν [7]) *παρασχὼν ἰταμαῖς* [8]) *κυσὶν ἀεροφοίτοις.*

Schol. [1]) *ἐν τοῖς πλείστοις αἴσιον· Ἀσκληπιάδης τὸ ὅσιον. ἔστι δὲ ἐξ Ἀγαμέμνονος Αἰσχύλου. — ὅσιον] ἁγίαν καὶ δικαίαν ἐπικράτησιν.* Cant. l. [2]) *Εὐριπίδης ὁμοίως τὰ Αἰσχύλου χορικὰ μέλη διεσπασμένως ἐξ ἄλλων καὶ ἄλλων δραμάτων· τοῦτο μέντοι ἐξ Ἀγαμέμνονος· δίθρονον δὲ κράτος αὐτόν τε καὶ τὸν Μενέλαον· ἀκμὴν δὲ τὴν νεότητα· ἔστι δὲ ἀναπόδοτον.* [3]) *ἥβας] ἀκμῆς, ἰσχύος.* [4]) *τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. Ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου.* (Vulg. *δυςαμεριᾶν.*) [5]) *ἐξ Ἀγαμέμνονος ἐκ τῆς συνεπείας τοῦ κύριός εἰμι θροεῖν. Ἐπειδὴ δὲ οἱ τῆς Σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος πλήττει, διὰ τοῦτο δόρατι εἶπεν.* [6]) *ἡ πολεμοῦσα Θηβαίοις τύχη.* [7]) *ἐπιτυχεῖν.* R. v. Θ. *καὶ τοῦτο ἐξ Ἀγαμέμνονος.* R. v. [8]) *ἀντὶ τοῦ ἀναισχύντοις* R. *τοῖς ἁρπακτικοῖς ἀετοῖς· ταῦτα δὲ ὡς ἀσαφῆ πάρελθε.* V. — De *metro* Schol. ita: *τὸ τέταρτον κῶλον* (*κύριός-κράτος*) *δακτυλικὸν τετράμετρον· ἔστι δὲ κῶλον ἐκ χοροῦ, ὡς ἀνέγνων ἐν Ἀγαμέμνονι δράματι Αἰσχύλου· τὸ ε'* (*αἴσ. ἀνδρῶν*) *ὅμοιον δίμετρον· ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα· τὸ γὰρ τέλειόν ἐστιν· αἴσιον ἀνδρῶν ἐκτελέων, ὅπερ ἐφθημιμερές ἐστιν.*

105. *καταπνέει* Marc.

(105) *ἐκτ. τῶν ἐν τέλει ὄντων, ἢ τῶν βασιλέων* F. — *θεόθ. πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν, καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου* M. G. R. V. *παρὰ θεῶν* F. — *καταπνεύει. διὰ τὸ μέτρον* F.

ἀλκὰν σύμφυτος αἰών·
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβαν
ξύμφρονα τάγαν,
πέμπει ξὺν δορὶ δίκας πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινός, ὅ τ' ἐξόπιν ἀργίας,
φανέντες ἴκταρ μελάθρων, χερὸς ἐκ δοριπάλτου,
παμπρέπτοις ἐν ἕδραισιν,

---

(107) *σύμφ.* ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ· ὅ ἐστιν· εἰ καὶ γέρων εἰμί, ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας (ἐσπέρας R.) αὐτὰ ἄξουσιν οἱ θεοί M. G. F. (Σχ. π.) R. V.

[107] Hes. *ἀλκή·* δύναμις, ἰσχύς· ἢ ἀλέξησις· ἢ μάχη. *Αἰσχύλος Ἀγαμέμνονι.* Cf. 420, 1014.

108. *ἥβας* Cas.

(108) *δίθρ.* ἤγ. τοὺς δύο βασιλεῖς τοὺς Ἀτρείδας καὶ τὴν τῶν Ἑλλήνων νεότητα καὶ ἀκμαίαν ἡλικίαν F. τοὺς κρατοῦντας τὴν Ἑλληνικὴν ἥβην, καὶ τὴν ὁμόφρονα περὶ τὰ τακτικά· λέγει δὲ τοὺς Ἀτρείδας. M. G. R. V.

109. *ξύμφρονα τὰν γᾶν* Marc. *τάνγαν* (' et ' supr. α poster.) G. (In M. vss. 109—111 alia manu scripti).

(109) *σύμφρ.* τὴν ὁμόφρονα τάξιν F.

110. *πέμπει ξὺν* Marc. — L. *δορὶ καὶ χερὶ πρ.*

(110) *ξὺν δορί.* σὺν πολέμῳ F. — *δίκ.* τιμωρίας F. — *πρ.* ἀπαιτητῇ, ἤγ. δίκην εἰςπραξομένῳ F. — *δίκ. πρ.* τῷ δίκην εἰςπρ. M. G. R. V.

(111) *θούρ.* ὁ ὁρμητικός F. — *ὄρν.* ὁ ἀετός F. — *Τευκρ.* τὴν Τρωϊκήν· ἀπό τινος ἄρχοντος Τεύκρου F. — *αἶαν·* γῆν F.

112. *οἰων. βασ.* om. B. — *ἀργίας* Marc. *ἀργίας οἱ* Fl.

(112) *οἰων.* τῶν ὀρνέων· ἀπὸ μέρους F. — *βασ.* τοῖς F. — *ὁ κελ.* ὁ μέλας F. — *ὅ τ' ἐξ.* ὁ ἐξοπίσω λευκός, ὅ ἐστιν ὁ πύγαργος. M. G. R. V. ὁ ἐκ τῶν ὄπισθεν λευκός, ἤτοι ὁ πύγ. F. — *ἀργ.* εἶδος ἀετοῦ Fl.

113. *χειρὸς* A. — *δορυπάλτου* Marc.

(113) *ἴκτ.* ἐγγύς Fl. F. — *μελ.* τῶν οἴκων F. — *χερ.* ἐκ δεξιᾶς, ὅ ἐστιν εὐσυμβόλως M. G. (*ἐκ δεξ.* ὅ ἐστ. εὐσ. R.) ἤτοι τῆς δεξιᾶς, δι' ἧς πάλλουσι τὸ δόρυ F.

[113] Тпом. M. *ἴκταρ·* ἀντὶ τοῦ ἐγγύς. *Αἰσχύλος·* *ἴκταρ μελάθρων.*

114. *παμπρέποις ἐνέδραισιν* Marc. *παμπρέποις ἐν ἕδραις* B. *παμπρέπτοισιν ἕδραις* Fl. *παμπρέπτεσιν ἕδραις* F.

(114) *παμπρ.* εὐπρεπέσιν. ἡ εὐθεῖα ἡ παμπρέπτις F. *παμπρέποις·*

βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν,
βλαβέντα λοισθίων δρόμων.
Αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

Κεδνὸς δὲ στρατόμαντις ἰδὼν, δύο λήμασι δισσοὺς

τοῖς βασιλείοις R. V. — ἕδρ. ἤτοι τοῖς βασιλείοις M. G. Fl. καθέδραις F.

115. βοσκομένην F. — ἐρικύματα φέρματι Marc. T. — φέρβοντο Fl. F. — ἐρικύμαδα φέρματι Seidl.

(115) λαγ. τὸν λαγῳον M. G. τὸν λαγωόν R. V. ἤτοι λαγωῶν γενεάν F. — ἐρ. πολυκύμονα M. G. R. V. πολυτόκον Fl. ἄγαν ἐγκυμονοῦσαν· ἄλλα γὰρ γεννᾷ καὶ ἄλλα ἐν γαστρὶ φέρει F. Cf. Steph. p. 894. — φέρβοντο· ἤσθιον F. — γένν. τὴν τῶν λαγωῶν γένναν λέγει Fl.

(116) πρὸς τὸ σημαινόμενον τὸ βλαβέντα M. G. R. V. βλάβην σχόντα ἐκ τῶν τελευταίων· ἐκεῖνος γὰρ ἦν ὁ τελευταῖος αὐτοῦ δρόμος ἐξ οὗ ἐσφάλη F. ἰαμβικὸν δίμετρον Fl. — (105—116): τοῦτο βούλεται εἰπεῖν· εἰ καὶ δοκῶ ἀσυντελής τις εἶναι διὰ τὸ γῆρας, ἀλλ' οὐκ εἰμί· ἔτι γὰρ ὁ σύμφυτός μοι αἰὼν, ἤγ. ἡ μέχρι τοῦ νῦν παραταθεῖσα ζωὴ καὶ τὸ γῆρας καταπνέει μοι πειθὼ θεόθεν καὶ μολπὴν καὶ ἀλκὴν, ἤγ. καταπείθει με καὶ δίδωσί μοι ἀλκὴν καὶ δύναμιν μέλπειν καὶ λέγειν ὅπερ τὸ δίθρονον κράτος τῶν Ἀχαιῶν, ἤτοι τοὺς δύο βασιλεῖς καὶ τὴν ἥβην τῆς Ἑλλάδος, τουτέστι τὴν ἀκμαίαν ἡλικίαν τὴν σύμφρονα καὶ ὁμόφρονα τάξιν, ἤγ. τὰ τάγματα τὰ ὁμόφρονα, πέμπει ἐπὶ τὴν γῆν τὴν Τευκρίδα καὶ τὴν Τρωϊκὴν σὺν δορὶ, ἤτοι πολέμῳ καὶ μάχῃ, πράκτορι δίκης, ἤγ. εἰςπραξομένῳ δίκην καὶ τιμωρίαν, ὁ θούριος καὶ ὁρμητικὸς ὄρνις, ἤτοι ὁ ἀετὸς, ὁ βασιλεὺς τῶν οἰωνῶν, τουτέστι τὰ ἐνόδια σύμβολα ταῦτα ἔπεμψαν αὐτοὺς πρὸς τὴν Τροίαν. Τὰ ἑξῆς δὲ δέον συνδεδεμένως εἰπεῖν, ὁ δὲ ἀσυνδέτως ἐπήνεγκεν. ὁ γὰρ κελαινὸς καὶ μέλας ἀετὸς καὶ ὁ ἐξόπιν ἀργίας, ἤγ. ὁ πύγαργος, φανέντες τοῖς βασιλεῦσι τῶν νεῶν ἴκταρ καὶ ἐγγὺς τῶν μελάθρων αὐτῶν, ἐν ταῖς παμπρέπτεσι καὶ εὐπρεπέσιν ἕδραις λέγω, ἐκ τῆς δορυπάλτου χειρὸς, ἤτοι τῆς δεξιᾶς, ἐφέρβοντο καὶ ἤσθιον γένναν λαγίναν, ἤτοι λαγωῶν, ἐρικύμονα καὶ ἄγαν ἐγκυμονοῦσαν καὶ τίκτουσαν βοσκομένην, βλαβέντα τῶν λοισθίων δρόμων, ἤτοι βλάβην σχόντα ἐκ τῶν τελευταίων αὐτοῦ δρόμων. τὸ βλαβέντα δὲ πρὸς τὸ σημαινόμενον εἴρηται· λαγίναν γὰρ γένναν, ἤγ. λαγωόν F. (Ἡμ.)

117. αἴλινον M. Marc. R. — τόδ' ευ νικατω M. τόδ' εὖ νικάτω Marc. Fl.

(117) ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι „ἐν τάξει ὕμνου αὐτὸν λέγε" (λέγω F.) M. G. F. R. V. In F. adscr. ἐφύμνιον. In G. τόδ' εὐνικάτω· οἶμαι εὖ νικάτω.

118. ἰδὼν, δύο Fl. A.

118. — Ἀντιστρ. κώλ. ιθ'. F.

'Ατρεΐδας μαχίμους ἰδάη λαγοδαίτας
πομπούς τ' ἀρχάς,
οὕτω δ' εἶπε τεράζων·
χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπληθῆ
Μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
Οἷον μή τις ἄτα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
στρατωθέν· οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ

---

(118) *κεδν. ὁ συνετός* F. — *στρ. ἤγ. ὁ Κάλχας* Fl. F. — *ἰδ. τὸ τέρας* F. — *λήμμασι. κρατήμασι* Fl. *φρονήμασι* F. — *δισσ. τοὺς δύο* F. *ἤγ. εἰκόνισεν εἶναι τοὺς (τοὺς δύο* Fl.) *ἀετοὺς τοὺς δύο 'Ατρείδας* F. Fl. (in hoc ad *ἰδάη* adscr.)

119. *λογοδαίτας* Marc. R.

(119) *ἰδ. ἔμαθεν, ἔγνω* F. — *λαγ. τοὺς τὸν λαγωὸν εὐωχηθέντας* F. *ἀετούς* Fl.

120. *τ' ἀρχὰς* Marc.

(120) *π. τ' ἀρχούς· ἄρχοντας προπέμποντας τὸν στρατόν* F.

121. *οὕτω δ' οὖν εἶπε* Fl. (corr. ex *τόδ' εἶπε.*) — *τεραιζων* M.

(121) *τερ. τὰ τέρατα διηγούμενος* M. G. R. V. *τὸ τέρας ἑρμηνεύων* Fl. F.

122. *αδε (η* sup. *α)* F.

(122) *χρ. ἐν* F. *ἤγ. διὰ χρόνου* F. — *ἀγρ. ἀγρεύσει, πορθήσει* F. — *Πρ. πόλ. ἤτοι τὴν Τροίαν* F. — *ἅδε κ. αὕτη ἡ ὁδὸς, ἤγ. ἡ τοῦ στόλου κίνησις* F.

(123) *πύργ. ἤτοι τῆς πόλεως* F.

124. *προσθε τα* Marc. *πρόσθε τὰ* B.

(124) *κτ. κτήματα* M. G. R. V. *τὰ* F. *ἤτοι τὰ θρέμματα* F. — *πρ. πρότερον* F. — *τὰ δημ. τῆς πόλεως, τὰ δημόσια* F.

125. *ἀλαπάξει* F.

(125) *ἀλ. διαφθερεῖ* F. — *πρ. τὸ β. ἤγ. βιαίως* F.

126. *οἶον* Marc. — *ἄγα* H. — *προτυπὲς ἐτό μιον* G. *προτυπὲν* Marc.

(126) *οἶον· μόνον* F. — *ἄτ. βλάβη* F. — *θεόθ. ἐκ θεοῦ* F. — *κνεφάσειε· ἐπισκοτίσειε* F. — *προτυφθέν. τὸ* F. *ἤγ. τὸ ὑπὸ Ἡρακλέους πορθηθὲν* F. — *στ. ἐπί* F. *διὰ τὰς πορθηθείσας πρότερον πύλας αὐτῆς* F.

127. *στρατωθὲν* Marc. — *οἴκω* M. G. Marc. Fl. A. *οἴκῳ* F. T. C. — *ἁγνα (η* supr.) F. *ἁγνά* A.

(127) *στρ. στρατῷ κυκλωθέν* Fl. *τὸ ἐπιστρατεῦσαν* F. *μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατωθὲν (τὸ στρατευθὲν* R. V.) *τῆς Τροίας στόμιον (στ.* om. R.)· *ὅ ἐστι τὸ ἐπὶ βλάβῃ Τροίας στρατευθέν· ἄτη (ἄτῃ*

πτανοῖσιν κυσὶ πατρὸς,
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν·
στυγεῖ δὲ δεῖπνον αἰετῶν.
Αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

Τόσσων περ εὔφρων, καλὰ

G. V.) σκοτίση (σκοτήση Marc. σκοτίσης R. V.) M. G. R. V. μόνον μὴ ἄτη καὶ βλάβη τις ἐπισκοτίσειε τὸ στράτευμα δηλονότι τὸ στρατωθὲν καὶ στρατεῦσαν ἐπὶ τὸ μέγα στόμιον τῆς Τροίας, τὸ προτυφθὲν, ἤγ. τὸ ὑπὸ Ἡρακλέως πρότερον πορθηθὲν καὶ τῶν Ἀμαζόνων F. (Ἡμ.) Ἀστείως ἔφη μέγα στόμιον προτυφθὲν διὰ τὰς ὑπὸ Ἡρακλέως πορθηθείσας πρότερον Τρωϊκὰς πύλας· ὥςπερ γὰρ κατὰ στόμα ἐτύπη καὶ τοτὲ ἡ Τροία F. (Σχ. π.) — οἴκ. τῷ γὰρ οἴκῳ (τω γὰρ οἴκω Marc.) τῶν κυνῶν Διὸς, ὅ ἐστι τῶν ἀετῶν, ὀργίζεται Ἄρτεμις δὲ τὸ κύοντα (τὸν κύοντα R. V. Ἄρτ. διὰ τὸ κύοντα Stanl.) τὸν λαγὼν ἀποκτεῖναι· λοχεία (λοχία Dind.) γάρ ἐστιν ἡ θεός M. G. R. V. — ἐπ. ὀργίλη ἐστὶν, ὡς ἔφορος τῶν τόκων F. — Ἄρτ. ἡ F. — ἁγν. ἡ καθαρὰ, ἡ παρθένος F.

128. πτανοῖσι κυσὶν Marc.

(128) πτ. ταχέσι λέγω F. — κυσ. ἤτοι τοῖς ἀετοῖς F. — πατρ. τοῦ Διός F.

129. πτάκα Marc. πτάωνκαθυομένοισι B. πτᾶκα R. (in Sch. l. πτῶκα).

(129) αὐτ. σὺν αὐτῷ τῷ τόκῳ M. G. R. V. (R. om. τῷ) ἤτοι σὺν τοῖς αὐτοῦ τόκοις, ἤγ. τοῖς τέκνοις F. — πρὸ λ. πρὸ τοῦ τεκεῖν· ἐγκύμων γὰρ ἦν F. — μογ. ἀθλίαν F. — πτ. τὸν λαγωόν M. G. F. R. V. — θυομ. σιτουμένοις F. ἡ Ἄρτεμις γὰρ ἡ καθαρὰ ἐπίφθονός ἐστι καὶ ὀργίλη τῷ οἴκῳ τῶν ἀετῶν, τοῖς κυσὶ λέγω τοῦ πατρὸς αὐτῆς Διὸς τοῖς πτηνοῖς καὶ ταχέσι, θυομένοις καὶ σφάζουσι καὶ σιτουμένοις τὴν ἀθλίαν πτῶκα, ἤτοι τὸν λαγωὸν αὐτότοκον, ἤγ. σὺν αὐτοῖς τοῖς τόκοις αὐτοῦ, πρὸ τῆς λοχείας, ἤτοι πρὸ τοῦ τεκεῖν. δέον δὲ εἰπεῖν τῷ οἴκῳ τῶν πτηνῶν κυνῶν, πτηνοῖς κυσὶν εἶπε πρὸς τὸ οἴκῳ F. (Ἡμ.)

(130) στ. δίμετρον ἰαμβικόν Fl. μισεῖ F. — δὲ· γάρ. F. — δεῖπν. διότι δεῖπνον ἐποιήσαντο τὸν λαγωόν F.

132. τόσσων Marc. R. τόσον B. — α (η supr.) καλα (η supr.) F.

132. — Ἐπῳδὸς κώλ. κδ'. F. Μέσον τῶν κατὰ σχέσιν στροφῶν καὶ ἐπῳδὸν τέθεικεν. Εἰσὶν οὖν τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα κδ', ὧν τὰ μὲν ἔστιν ἰαμβικά, τὰ δὲ δακτυλικά, τὰ δὲ ἀναπαιστικά· ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος F. (Ἡμ.)

(132) τόσον. ἐστιν F. — εὔφρ. κατ' εἰρωνείαν F. — ἁ καλά. Ἄρτεμις F.

δρόσοις ἀέπτοις μαλερῶν λεόντων,
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι τερπνά
τούτων αἴτει ξύμβολα κρᾶναι
δεξιὰ μέν, κατάμομφα δέ, φάσματα στρουθῶν.

---

133. ἀελπτοις Marc. R. — μαλε ρων M. — ὄλτων Marc. R.

(133) δρ. τοῖς νεογνοῖς M. G. F. V. χωρὶς δ' αὔτερσαι (Od. IX, 222 αὖθ' ἔρσαι) M. G. χ. δ' αὖ τέρσαι V. — ἀέλπτοις δὲ τοῖς ἕπεσθαι τοῖς γονεῦσι δυναμένοις (γενναμένοις, sed corr. δυναμένοις G. μὴ δυν. R.) M. G. R. — ἀέπτοισι· τοῖς μὴ δυναμένοις πτῆναι F. τοῖς ἕπ. τοῖς γον. μὴ δυν. ἄλλως τοῖς μὴ δυν. πτῆναι V. — μαλ. τῶν φθαρτικῶν πετεινῶν F. φθαρτικῶν V.

[133] Etym. *M.* p. 377, 37 ἔρσαι· αἱ ἐν ἔαρι γεννηθεῖσαι· ἢ αἱ ἁπαλαὶ καὶ τελείως νέαι, μεταφορικῶς, ὡς Ἀριστόνικος, ἐν σημείοις· ἔρση γάρ ἐστιν ἡ δρόσος. Καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους τῶν λεόντων δρόσους κέκληκε, μεταφράζων τοῦτο.

(134) τ'. καί F. — ἀγρ. ἤτοι τῶν ἐν ἀγροῖς διαιτομένων (l. διαιτωμ.) F. — φιλ. τοῖς τὸν μαστὸν φιλοῦσιν F.

135. τερπνα (η sup. α) F.

(135) ὀβρ. ἤτοι τοῖς τέκνοις F. ὀβρίκαλα κυρίως οἱ λεοντιδεῖς καὶ ὅσα τοιαῦτα. Παρὰ τὸ ὄβριμα εἶναι καὶ ἰσχυρὰ ἐκ βρέφους F. (Σχ. π.). — τερπν. ἡ F. ἡ καλλίστη Ἄρτεμις F.

[135] Eust. *ad Od.* IX, 222 p. 1625, 47: ὑστρίχων καὶ τῶν τοιούτων (τὰ νεογνὰ) ὄβρια καὶ ὀβρίκαλα, ὧν χρῆσις καὶ παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι. — Id. *ad Od.* I, 101 p. 1395, 47: ὀβρίκαλα παρὰ Αἰσχύλῳ λεόντων σκυμνία· τὰ δηλαδὴ καὶ ὄβριμα καὶ καλά. — Id. *ad Il.* III, 54 p. 381, 16: ἰστέον ὅτι τινὲς — λέγοντες καὶ ἄλλα εἶναι ἅπαξ λεγόμενα παρ' Ὁμήρῳ τε καὶ ἄλλοις· — Αἰσχύλος δὲ ὀβρικαλά φησι τοὺς λεοντιδεῖς, καὶ βαλῆνα τὸν βασιλέα. — Aelian. *de nat. an.* VII, 47: τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια (ὀβρίκαλα leg. Valck.) καλεῖται· καὶ μέμνηται τοῦ ὀνόματος Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς.

136. κράναι M. Marc. G. B. R. (is in Sch. l. φάναι).

(136) αἴτ. με F. — ξύμβ. τὰ σημεῖα F. — κρ. τελέσαι, ἀντὶ τοῦ φᾶναι τελεσθῆναι F.

137. κατάμορφα R. (ορ in Marc. obscure scr.) καταμομφὰ A.

(137) δεξ. διὰ τὴν νίκην F. — κατ. διὰ τὸν χόλον Ἀρτέμιδος F. — φάσμ. προμαντεύματα F. — στρ. τῶν ἀετῶν M. G. F. R. V. τὰ σύμβολα αἰτεῖ με φάναι (V.) τούτων (φάναι, τούτων δὲ R.) δεξιὰ μὲν διὰ τὴν νίκην, ἐπίμομφα (ἐπιμοφα G. κατάμομφα V.) δὲ διὰ τὸν χόλον Ἀρ-

Ἰήϊον δὲ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας ἀπλοίας
τεύξῃ, σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν', ἄδαιτον,
νεικέων τέκτονα σύμφυτον,
οὐ δεισήνορα· μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκονόμος δολία μνάμων μῆνις τεκνόποινος.

τέμιδος M. G. R. V. (qui, omisso τούτων, cetera cum lemmate δεξ. — φάσματα posuit) τούτων τῶν στρουθῶν τὰ φάσματα αἰτεῖ με κρᾶναι καὶ εἰπεῖν καὶ ἀποφήνασθαι τὰ σύμβολα καὶ τὰ σημεῖα δεξιὰ μὲν, κατάμομφα δέ. ἤτοι δεξιὰ μὲν διὰ τὴν νίκην, ἐπίμομφα δὲ διὰ τὸν χόλον Ἀρτέμιδος. Δέον δὲ εἰπεῖν, φᾶναι, ἐπειδὴ ἃ λέγουσιν οἱ μάντεις καὶ τέλος λαμβάνουσιν, εἰκότερον κρᾶναι εἶπεν. ἔδει δὲ οὕτως εἰπεῖν· ὡς χρὴ δέ με εἰπεῖν τὰ σύμβολα τῶν φασμάτων τῶν στρουθῶν δεξιὰ καὶ τὰ ἑξῆς, ὁ δὲ ἔμψυχα οἷον δεικνὺς τὰ φάσματα, αἰτεῖ με φησὶ τὰ φάσματα, τὴν αἴτησιν ἐκ τῶν φασμάτων γίνεσθαι χαριέστατα προβαλλόμενος F. (Ἡμ.)

138. ἴκιον Marc. R.

(138) ἰή. ὡς μάντις M. V. ὡς μάντιν G. ἐπίθετον Ἀπόλλωνος F. — καλ. ἐπικαλοῦμαι. συνίζησις F. — Παιᾶν. τὸν Ἀπόλλω F. ὁ μάντις τοῦτο φησίν F.

(139) μή· ἵνα F. — ἀντ. ἐξ ἐναντίας πνεούσας πνοάς F. — Δαν. τοῖς Ἕλλησι F. — ἐχ. ἐχούσας καὶ κωλυούσας τὰς ναῦς F. — ἀπλ. μὴ ἐῶσας πλεῖν F.

140. σπευδομενα (η sup. α) F. — ἄδ' αἶτον Marc.

(140) τεύξ. ὦ Ἄρτεμι M. G. V. ποιήσῃ ἡ Ἄρτεμις F. — σπ. μετ' ἐπιτάσεως ζητοῦσα F. — θυσ. τὴν τῆς Ἰφιγενείας F. — ἑτ. ἀντὶ τοῦ λαγωοῦ F. — ἀν. παράνομον F. — ἄδ. ἣν οὐδεὶς ἔδαισεν (M. G. V.), ἤγ. ἔθυσεν ἢ ἔφαγεν F.

141. τεκτων (α sup. ν) Marc. τέκτωνα R. — σύμφυτον F.

(141) νεικ. φιλονεικιῶν. συνίζησις F. — τέκτ. ποιητικὴν διὰ τὸν φόνον, ὃν ἐποίησε Κλυταιμνήστρα F. — σύμφ. συγγενικήν M. G. F. R. V.

142. παλίνορτος Marc. R. (is in Sch. l. παλίνορσος). — μναμων (η sup. α) F.

(142) οὐ δεισ. οὐ φοβουμένην τὸν ἄνδρα (Fl.), ἢ τὴν οὐ δήσασαν (δείσασαν R. V.) τὸν ἄνδρα M. G. R. V. ἐπὶ τὴν οὐ φοβηθεῖσαν τὸν ἄνδρα αὐτῆς Κλυταιμνήστραν F. — μίμν. μένει F. — φοβ. ξένη μήπω τολμηθεῖσα F. — παλ. ἡ ἐξ ὑστέρου (ἐξύστερον R.) ὁρμωμένη (ὁρμουμένη Marc.) M. G. R. V. ὕστερον ὁρμωμένη F.

(143) οἰκ. δολ. κατασκευάζουσα δολίως τὸν τοῦ ἀνδρὸς θάνατον F. — μν. μνημονευτική F. — μῆν. ἤγ. μνησικακία. — τεκν. ἤγ. δίκην εἰσπράττουσα τοῦ τέκνου F. δέον μετὰ τοῦ δε εἰπεῖν, μίμνει δέ, ὁ δὲ ἀσυν-

Τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

Ζεύς, ὅςτις ποτ' ἐστίν, εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ,
τοῦτό νιν προςεννέπω·
οὐκ ἔχω προςεικάσαι πάντ' ἐπισταθμώμενος

δέτως ἐξήνεγκεν εἰπών· μίμνει ἐπὶ τὴν οὐ δεισήνορα καὶ τὴν οὐ φοβηθεῖσαν τὸν ἄνδρα αὐτῆς, ἀλλ' ἀνηλεῶς φονεύσασα (l. — *σαν*) *Κλυταιμνήστραν μῆνις καὶ μνησικακία μνήμων, φοβερὰ καὶ ξένη καὶ μὴ ὑπ' ἄλλης τολμηθεῖσα. παλίνορτος δὲ ὕστερον ὁρμωμένη. οἰκονομοῦσα καὶ κατασκευάζουσα δολίως τὸν τοῦ ἀνδρὸς θάνατον. τεκνόποινος ἤτοι ποινὴν καὶ τιμωρίαν εἰςπράττουσα τοῦ τέκνου αὐτῆς, τουτέστι τῆς Ἰφιγενείας* F. (*Ἡμ.*)

144. *ἀπέκλαιξεν* Marc.

(144) *Κάλχ. ὁ* F. — *μεγ. διὰ τὴν νίκην* M. G. F. V. — *ἀπ. ἤγ. εἶπεν· ἀπὸ μεταφορᾶς τῶν ἀετῶν* F.

(145) *μόρσ. πεπρωμένα* F. — *ὁδ. τῶν ἐπὶ τῇ ὁδῷ φανέντων* F. — *βασ. βασιλικοῖς* F.

146. *τοῖσδε ὠμόφωνον* B. *τοῖσδ'* M.

(146) *ὁμ. ὁμοφώνως* M. G. V. *ὡς ὄντες ἐν Ἄργει τοῦτο φασίν· ἤγ. ὁμοφώνως τοῖς φάσμασιν* F.

147. *εἶπὲ* G.

148. — *Στρ. ἑτέρα κώλ. η'* F. *Αἱ ἑξῆς αὗται πᾶσαι στροφαὶ κατὰ σχέσιν εἰσὶ μόνον. οὐ μὴν ἔχουσι καὶ ἐπῳδούς· καὶ εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς τὰ κῶλα η' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς δευτέρας ὁμοίως η', τῆς τρίτης ιβ', τῆς τετάρτης ι' καὶ τῆς πέμπτης ια'· ὁμοίως καὶ τὰ τῶν ἀντιστροφῶν· ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. εὔγνωστα γὰρ ἂν εἴη σοι καὶ ταῦτα, ἀκριβῶς ἐκείνων ἐσχηκότι τὴν γνῶσιν. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος· ἐπὶ δὲ τῷ τέλει πασῶν κορωνὶς ἐξιόντος τοῦ χοροῦ* F. (*Ἡμ.*)

(148) *ὅστ. διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα* M. G. F. R. V. — *τόδ'· τὸ Ζεύς* F. — *φίλ. προςφιλές* F. — *κεκλ. ἐπικαλουμένῳ ἢ ὀνομαζομένῳ* F.

(149) *νιν· αὐτόν* F. — *πρ. προςλαλῶ, ὀνομάζω* F.

150. *οὐκέχω* Marc. (*πρ., οὐκ ἔχων* Schn.) — *προςεικάσαι* M. (corr. ex *προςηκάσαι*).

(150) *πρ. προςόμοιόν τι εὑρεῖν* F. — *ἐπιστ. ἐρευνῶν, ζυγοστατῶν* F.

πλὴν Διός· εἰ τόδε μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως,

οὐδ' ὅςτις πάροιθεν ἦν μέγας, παμμάχῳ θράσει βρύων,
οὐδὲν λέξαι πρὶν ὤν·
ὃς δ' ἔπειτ' ἔφυ, τριακτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων

---

151. *ματαν* (*η* supr.) F. *εἰτό δε μάταν* R. Leg. *εἰ τόδε μὰν.*

(151) *πλ. Διός· πάντα γὰρ μάταια· τοῦτο δὲ μόνον ἀληθὲς* F. — *εἰ· εἰ τὸ τῆς ματαιότητος ὀφείλει τὶς ἀποσείσασθαι τῆς γνώμης, Δία νομιζέτω* M. G. R. V. (*διανομιζέτω* Marc. G. R.) *ἀποβαλεῖν, ἀποσείσασθαι τοῦ λογισμοῦ μάταιον βάρος* F.

(152) *χρή· πρέπει* F. — *ἐτ. ἀληθῶς καὶ μὴ ἐπιπλάστως* F. *ἐγώ, φησι, πάντα ἐρευνῶν καὶ πάντ' ἐξετάζων ὡς ἐν σταθμῷ τινὶ, οὐκ ἔχω προςεικάσαι καὶ* (*πρ. κ.* om. V.) *ὅμοιόν τι εὑρεῖν τοῦ Διὸς* (*τῷ Διΐ* V.)*· εἰ χρὴ ἀληθῶς ἀποβαλεῖν ἀπὸ τῆς φροντίδος καὶ τοῦ λογισμοῦ μάταιον ἄλλο ἄχθος· τὸ γὰρ περί τινων ἄλλων διαλογίζεσθαι μάταιόν ἐστιν ὄντως ἄχθος· ἡ δέ γε περὶ Θεοῦ ἔννοια καὶ τὸ διὰ μνήμης ἐκεῖνον ἔχειν ἀεὶ, οὐ μόνον ἄχθους παντὸς ἔστιν ἀπηλλαγμένον, ἀλλὰ καὶ χαρᾶς ἀφάτου τὴν καρδίαν πληροῖ· ὡς καὶ* **Εὐριπίδης** *φησίν· ἦ μέγα μοι τὰ θεῶν μελεδήματα, ὅταν φρένας ἔλθῃ, λύπας παραιρεῖ* (Hipp. 1102). *Τοῦτο δὲ ὅμοιόν ἐστι τῷ· ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην* (Ps. XVI, 9). *Ταῦτα δὲ ἄγαν ἐστὶν εὐσεβῆ* F. (*Ἡμ.*) V.

153. — *Ἀντ. κῶλ. η'* F.

(153) *ὅςτ. ὁ Κρόνος* F. — *πάρ. πρότερον* F. — *μέγ. διὰ τοὺς Τιτᾶνας* (*Τιτάνας* R.) M. G. R. V. — *παμμ. πᾶσι δυναμένῳ μάχεσθαι* F. — *θρ. τόλμῃ, δυνάμει* F. — *βρ. ὁ Τυφῶς* M. G. (*ὁ Τυφώς* R. V.). *θάλλων· ἦν κρείττων αὐτοῦ δηλονότι* F.

154. *λέξαι, πρὶν* M. Marc. R. T. V. C. *λέξαι πρὶν* G. Fl. F. B. Leg. *οὐδὲν ἂν φράσαι.*

(154) *λέξ. ἤγ. εἰ χρὴ εἰπεῖν* F.

(155) *ὅς· ἴσως τὸν Τυφῶνα λέγει, ἢ τοὺς Τιτᾶνας λέγει* F. — *ἔφ. ἐγένετο* F. — *τρ. ἤγ. νίκης* F. *νικητοῦ* (*νικητῆρος* F.)*· ἐκ* (*ἀπὸ* F.) *μεταφορᾶς τῶν ἐν τοῖς πεντάθλοις ἀποτριαδιζόντων* (l. *ἀποτριαζόντων*) M. G. F. (*Σχ. π.*) R. V. — *οἴχ. ἐφθάρη* F. — *τυχ. οὐ τυχών· λάμβανε γὰρ τὸ οὐ ἀντὶ τοῦ οὐδ' ὅςτις* F.

(156) *πρ. προνοητικῶς* F. — *ἐπ. ἐπὶ ἐλπίδι νίκης* M. G. F. (in F. add. *δηλονότι*) V. (qui male continuat *ἀποτριαδ. ἐπὶ ἐλπ. νίκ.*). — *κλ. ἐπικαλούμενος* F.

τεύξεται φρενῶν τὸ πᾶν·

τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τῷ πάθει μάθος
θέντα κυρίως ἔχειν.
Στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
μνησιπήμων πόνος, καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν·
δαιμόνων δέ που χάρις
βίαιος σέλμα σεμνὸν ἡμένων.

Καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς νεῶν 'Αχαϊκῶν,
μάντιν οὔ τινα ψέγων,

---

157. *τεύξεται φρονῶν* R. (in Sch. l. *τεύξηται φρενῶν*).

(157) *τεύξ. ἐπιτύχοι* F. *ὁλοσχερῶς* (*ἤγ. καθόλου* F.) *φρόνιμος ἔσται* M. G. F. V. R. (qui male iungit: *ἐπὶ ἐλπ. νίκ. ὁλ. φρ. ἔσται*).

158. *μάθος* R. (in Sch. l. *μαθών*).

158. — *Στρ. ἑτέρα κῶλ. η'* F.

(158) *ὁδ. ὁδοὺς δόντα, ὁδοποιήσαντα* F. — *τῷ πάθ. τῷ παθόντι* (om. R. V.)· *παθὼν δέ τε νήπιος ἔγνω* (Hes. Opp. 218. Il. XVII, 32) M. G. R. V. *τὸν ἐκ τοῦ παθεῖν τὸ μαθεῖν θέμενον* F. — *μάθ. δύςχρηστος μὲν ἡ λέξις, ἀλλ' Ἀττική· ὡς γὰρ τὸ ῥέος καὶ τὸ βλέπος, οὕτω καὶ τὸ μάθος καὶ ἔτι τὸ δίψος καὶ τὸ βλάβος καὶ τὸ κλέπος* F. (*Σχ. π.*)

160. *δ' ἐνθ'* R. *δ' ἔνθ'* V. C. — *πρὸ* R. (in Sch. l. *πρὸς*).

(160) *στ. τῷ ἁμαρτάνοντι τοῦτο συμβαίνει* M. G. R. V. — *ἐν θ'· ἔν τε* F. — *πρὸ· ἐπὶ* F.

(161) *μν. ἤγ. οἱ ἁμαρτήσαντες καὶ ἐν ὕπνοις πημονὰς καὶ πόνους φαντάζονται* F. — *παρ' ἄκ. ἤγ. παθόντες ἄκοντες ἐσωφρόνησαν* F. — *σωφρ. τό* F.

162. *δὲ ποῦ* G. B. Marc. R. *δέπου* T. — *χάρις βιαίως.* G. (corr. ex *βιαίος.*) *χάρις βίαιος,* T. *βίαια* Bothe.

(162) *δαιμ. τῶν θεῶν* F. — *που· ἴσως* F. — *χάρ. ἡ* F.

(163) *βιαίως· κραταιῶς· ἤγ. τῶν τὸ κράτος ἐχόντων* F. — *σέλμ. τὸν ζυγόν· ὑψίζυγος* (M. V.: In G. librarius primum scribere voluit *ὑψηλος*, sed correxit ita ut pro *λ* legatur *ζυγος. ὑψίζηγος* R.) *γὰρ ὁ Ζεύς* M. G. R. V. (Cf. Il. IV, 166) *καθέδραν σεμνήν, ἤτοι τὸν οὐρανόν* F. — *ἡμ. καθημένων* F.

164. *'Αχαϊκῶν* Marc. (corr. ex *'Αχαικῶν*) R.

164. — *'Αντ. κῶλ. η'* F.

(164) *τόθ'· τότε* F. — *ἡγ. ὁ ἄρχων, ὁ 'Αγαμέμνων* F. — *ὁ πρ. μείζων γὰρ Μενελάου* M. G. R. (qui ad *ἡγ.* adscripsit) V. *ὁ τοῦ Μενελάου πρεσβύτερος* F. — *'Αχ. 'Ελληνικῶν* F.

(165) *μάντ. περισσεύει τὸ πνεῦμα* M. G.

ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαιϊκὸς λεώς,
Χαλκίδος πέραν ἔχων
παλιρρόθοις ἐν Αὐλίδος τόποις,
πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύςορμοι,
βροτῶν ἄλαι,
ναῶν καὶ πεισμάτων ἀφειδεῖς,

---

(166) *ἐμπ. ἐμπεσάσαις* M. G. (*ἐμπαισ.* corr. Dind. p. 97)· *ἐμπεσούσαις* V. — *συμπν. συμφωνῶν* M. G. *συμφωνῶν καὶ οὐκ ἀνθιστάμενος* V. — *συμπνέει· ταῖς συμπεσούσαις καὶ συγκρουσάσαις συμφωνεῖ καὶ οὐκ ἀνθίσταται ταύταις* F.

167. *ἀπλοίῳ* G. *ἀπλοΐα, κεναγγεῖ* F. — *Ἀχαϊκὸς* Fl.

(167) *εὖτ'· ὁπηνίκα· ἀσυνδέτως* F. — *κεν. νηῶν ἐξέφθιτο ἤϊα πάντα* (*ηι ἁπάντα* G. *ἠία πάντα* R.) M. G. R. V. (Od. XII, 329) *κενοῖ τὰ ἀγγεῖα, καὶ κατεσθίει τὰ βαρύνοντα* F. — *βαρ. τὰ· ἤτοι πᾶν ὅπερ ἔχει βάρος* F. — *λεώς· ὁ* F.

(168) *Χαλκ. τῆς Εὐρίπου· ἀπὸ μέρους* F. — *ἔχ. ἀντὶ τοῦ* (*τοῦ* om. R.) *ἐχόμενος* M. G. R. V. *οἰκῶν ὁ λαός* F.

169. *παλλιρρόθοις* Fl.

(169) *παλ. τοῖς ὧδε κἀκεῖσε τὸ ῥεῦμα πέμπουσιν* F. *λέγω* F. — *παλ. τόπ. διὰ τὸ τὴν θάλασσαν ὧδε* (sic) *κἀκεῖσε περιπολεῖν. Αὐλίδα δὲ ὀνομάζει τὴν Εὔριπον διὰ τὸ αὐλισθῆναι τὰς ναῦς ἐκεῖ.* F. (*Σχ. π.*) — *Αὐλ. τῆς Εὐρίπου* F.

170. — *Στρ. ἑτέρα κώλ. ιβ'* F.

(170) *μολ. ἐρχόμεναι* F.

(171) *κακ. ἐπὶ κακῷ ποιοῦσαι σχολάζειν* M. G. R. V. *ἐπὶ κακῷ τὴν σχολὴν ποιοῦσαι* F. — *νήστ. ἀεὶ κινούμεναι* F. — *δύςορμ. μὴ ἐῶσαι ὁρμισθῆναι* F.

172. *ἄλαι* A. T. et R. in Sch. l.

(172) *βρ. ἄλ. καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες* M. G. R. In F. praecedit: *ταῦτα ἐκ τῶν Ὁμηρικῶν μεταπέπλασται* (*Σχ. π.*)· ap. V. *ἐκ τοῦ Ὁμηρικοῦ* (cf. Od. XII, 330). — *ἄλ. πλάναι* F.

(173) *ναῶν· καὶ δὴ δοῦρα σέσηπε νεῶν* M. G. R. In F. praecedit: *καὶ πάλιν·* ap. V.: *πάλιν ἐκ τοῦ Ὁμηρικοῦ* (cf. Il. II, 135). *τῶν* F. *ὥστε μὴ σῆψις αὐταῖς ἐκ τῆς στάσεως γίνηται* F. — *πεισμ. τῶν σχοινίων* F. — *ἀφ. ἤγ. μὴ φειδῶ ποιούμεναι* F.

παλιμμήκη χρόνον τιθεῖσαι,
τρίβῳ κατέξαινον ἄνθος Ἀργείων·
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν
μάντις ἔκλαγξε, προφέρων Ἄρτεμιν, ὥςτε χθόνα βάκτροις
ἐπικρούσαντας Ἀτρείδας
δάκρυ μὴ κατασχεῖν·
ἄναξ δ᾽ ὁ πρέσβυς τόδ᾽ εἶπε φωνῶν·

---

174. *νεῶν τε καὶ* Pors.

(174) *παλ. ἐκ δευτέρου μηκυνόμενον· δύο γὰρ ὡς ἔοικε χρόνους ἐκεῖ διέτριβον* F.

175. *πολυμήκη (παλιμ* supr.) Fl. *παλιμμήκη* F. Marc. T. *πολυμήκη* B.

(175) *τρ. διατριβῇ* M. G. R. V. *τῇ διατριβῇ* F. — *κατ. κατέφθειρον* F. — *ἄνθ. πᾶν τὸ ἐξαίρετον καὶ ἔκκριτον* F.

176. *κατεξαινον* (*ε* supr. *α* poster.) Marc.

(177) *χείμ. χειμῶνος, συμφορᾶς* F. — *μῆχ. μηχάνημα* F.

178. *πρόμοισιν* Marc. F. A. *πρόμοισι* B. Fl. T. V. C.

(178) *βριθ. βαρύτερον, ἐπαχθέστερον* F. *ἐπαχθέστερον* M. G. R. V. — *πρ. τοῖς προμάχοις, τοῖς βασιλεῦσιν* F.

179. *ἔκλαγξεν* Pors.

(179) *μάντ. ὁ* F. — *ἔκλ. εἶπεν* F. — *πρ. ἤτοι λέγων τὴν Ἄρτεμιν, ὅτι θυσίαν ζητεῖ* F. (*Σχ. π.*) — *χθ. τὴν γῆν* F. — *βάκτρ. τῇ βακτηρίᾳ* F.

(180) *ἐπ. τύψαντας διὰ τὴν ὑπερβάλλουσαν λύπην* F. *εἰώθασιν οἱ συμφοράν τινα μεγίστην καὶ ἀπροςδόκητον ἐξαίφνης ἀκούσαντες ἐκ τῆς ὑπερβαλλούσης λύπης πᾶν τὸ παρατυχὸν ἐν ταῖς χερσὶ βιαίως ῥίπτειν ἐπὶ τὴν γῆν καὶ τύπτειν αὐτήν. Ἐπεὶ δ᾽ οἱ βασιλεῖς σκῆπτρα ἐν ταῖς χερσὶ κατέχουσι, διὰ τοῦτο βάκτροις ἐνταῦθα εἶπε, τουτέστι βακτηρίαις* F. (*Ἡμ.*)

(181) *μὴ κατ. ἀλλὰ λίαν θρηνεῖν* F.

182. — *Ἀντ. κῶλ. ιβ᾽.* F.

(182) *ἄν. τὸ ἑξῆς· ἐπεὶ δὲ* (*ἐπειδὴ* G.) *πικροῦ — ἄναξ ὁ πρέσβυς τόδ᾽ εἶπεν* M. G. *ἡ ἀπόδοσις τοῦ ἐπεὶ δὲ ἐνταῦθά ἐστιν· ἐπεὶ δὲ ὁ μάντις εἶπε τὸ καὶ τὸ, ὁ ἄναξ δὲ ὁ πρέσβυς εἶπε τόδε. Περισσὸς δέ ἐστιν ὁ δὲ σύνδεσμος Ἀττικῶς* F. (*Ἡμ.*) *ἡ ἀπόδ. — ἐστιν, οὕτως· ἐπεὶ — τόδε. Καὶ περ. ἐστ. — Ἀττικῶς· ἐπὶ δὲ πικροῦ, ἄναξ ὁ πρέσβυς τόδ᾽ εἶπεν* V. (*ἐπεὶ δὲ καὶ πικροῦ* corr. Dind.) — *ὁ πρ. ὁ Ἀγαμέμνων* F. — *φων. λέγων* F.

βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι·
βαρεῖα δ', εἰ
τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας·
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ
περιόργως ἐπιθυμεῖν
θέμις· εὖ γὰρ εἴη.

Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον,

---

(183) κήρ· τιμωρία M. G. R. V. μοῖρα F. — πειθ. τοῖς θεοῖς δηλονότι F.

185. δαΐξω Marc. (corr. ex δαΐζω).

(185) τέκν. πλείων οἶκτος (πλειον οἶκτος M. G. πλοῖὸν οἶκτος Marc.) μοι φησὶ (om. M. G. Marc. V.) διὰ τὸ τέκνον F. M. G. Marc. R. V. — δαΐξω· συνίζησις· φονεύσω F. — δόμ. τῶν F. — ἄγ. τὴν εὐπρέπειαν F.

186. παρθένος φάγοισιν Marc. παρθενοσφάγοισι B. παρθενοσφαγοῖσιν (acc. exp.) G.

(186) μιαίν. μολύνων F. — παρθ. παρθενικοῖς F.

187. πέλας βωμοῦ Bl.

(187) ῥείθρ. αἵματι F. — πατρ. πατρικάς F. — πέλ. πλησίον F.

188. κακῶν τί. M. B. Fl. κακῶν τί Marc.

(188) τί —; ἤγ. τί χεῖρον τῶνδε; F.

189. λιποναυςε Marc. λιπόναυς F. (corr. ex λειπόναυς).

(189) πῶς; ἤγ. πῶς καταλείψω τὰς ναῦς; F.

(190) ξυμμ. τῆς τούτων F. — ἁμ. ἀποτυχών F.

191. ὀργᾷ G. V. C. ὀργᾶι Marc. B. ὀργᾶ Fl. A. T. αὐδᾷ F.

(191) παρθ. παρθενικοῦ F. — ὀργᾶ· αὐδᾶ G. — τῷ τρόπῳ γὰρ αὐδᾷ ὁ μάντις δῆλον ὅτι M. G. τῷ — αὐδᾷ ὁ μάντις V. — αὐδᾷ· λέγει ὁ μάντις F.

(192) περιόργ. ἐπιθυμητικῶς M. G. Fl. F. V. — ἐπιθ. τὴν Ἄρτεμιν F.

(193) εὖ —. καλῶς ἀποβαίη M. G. V. — θέμ. γὰρ εὖ εἴη· ἤγ. δικαίως δὲ καὶ καλῶς ἀποβαίη F.

194. ἀνάγκας (η supr.) F.

194. — Στρ. ἑτέρα κῶλ. ι' F.

(194) ἀν. ἀντὶ τοῦ ἠναγκάσθη τὸ ποιεῖν M. G. — ἠναγκάσθη ποιεῖν

φρενὸς πνέων δυςσεβῆ τροπαίαν
ἄναγνον, ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
Βροτοῖς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ πρωτοπήμων.
Ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρός,

μεταβολήν R. — ἠναγκάσθη ποιεῖν τροπαίαν μεταβολήν (l. τροπ. μετ.) V. — ἔδυ· ὑπέδυ F. — λέπ. ἤτοι τὸν ζυγὸν ὁ Ἀγ. F. λέπαδνα· οἱ ἐκ δερμάτων μαχαλιστῆρες (l. μασχ.) τῶν ἵππων· παρὰ τὸ λέπω τὸ λεπίζω καὶ ἐκδέρω· οἱ δὲ τοὺς τῶν ζυγῶν φασι λώρους· ἀπὸ μέρους δὲ τὸν ὅλον ζυγὸν λέγει F. (Σχ. π.)· ἐπεὶ δὲ ὑπέδυ τὸν ζυγὸν τῆς ἀνάγκης· τοῦτο γὰρ δηλοῦν βούλεται τὸ λέπαδνον· ἐξέπνευσε δὲ καὶ ἀπέρριψε καὶ ἀπεβάλλετο τὴν δυςσεβῆ τροπὴν τῆς φρενὸς τὴν ἄναγνον καὶ ἀνίερον. ἐκτροπὴ γάρ ἐστι νοῦ καὶ δυςσέβεια ἀκάθαρτος καὶ παράνομος μὴ πείθεσθαι τοῖς θεοῖς, ἔγνω τόθεν καὶ ἐκεῖθεν εἶναι τοῖς ἀνθρώποις τὸ φρονεῖν τὸ παντότολμον, ἤγ. ἐκ τῆς ἀνάγκης εἶναι τὸ τὰ πάντα τολμᾶν. Θρασύνει γὰρ αὐτοὺς τάλαινα παρακοπὴ καὶ παρατροπὴ τοῦ νοῦ αἰσχρὰ καὶ κακὰ καὶ ἄθεσμα βουλευομένη· ἥτις ἐστὶ πρωτοπήμων, ἤγ. μείζων τῶν ἄλλων πημάτων καὶ πρώτη· τῆς γὰρ παραφροσύνης καὶ ἐκτροπῆς τοῦ νοῦ οὐδέν ἐστι χεῖρον νόσημα F. (Ἡμ.)

(195) πν. ἐκπνέων F. — τρ. μεταβολήν M. G. τροπὴν, μεταβολὴν, ὡς σελήνη σεληναία F.

196. l. τόθ' ἓν (cf. Mus. Rh. 1848 p. 301).

(196) ἄν. ἀκάθαρτον F. — ἀν. παράνομον F. — τόθ. ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δῆλον ὅτι M. G. V. ἤγ. ἀπὸ τῆς ἀνάγκης F.

197. (γράφεται παντότολμον Steph. p. 378). ταντότολμον R. (in Sch. l. πάντολμον). παντότολμεν C.

(197) τὸ πάντολμον· ὁ θεός (l. ὅθεν· cf. 196) ἔγνω — δηλονότι R. τὸ παντότ. ἤγ. τὸ τὰ πάντα τολμᾶν F. — φρ. τὸ λογίζεσθαι F. — μετ. ἤγ. ἔγνω, κατενόησεν εἶναι τοῖς ἀνθρώποις F.

198. βροτοῖς θρασύνει M. G. βροτοῖς. θρ. Marc. B. Fl. F. T. V. C.

(198) θρ. θρασεῖς ποιεῖ F. (in marg. γνώμη). — αἰσχρ. αἰσχρὰ ποιεῖν ἀναγκάζουσα (ἀναγκάζει G.) M. G. R. V. αἰσχρὰ βουλευομένη F.

199. παρακοπα (η supr.) F.

(199) τάλ. ἀθλία F. — παρακ. τοῦ νοῦ παρακοπή· πρωτοπήμων δὲ ἡ μείζων (μείζω G.) τῶν ἄλλων πημάτων M. G. R. παρατροπὴ τοῦ νοῦ F.

(200) ἔτλα· ὑπέμεινεν F. — θυτ. σφαγεύς F.

γυναικοποίνων πολέμων ἀρωγὰν
καὶ προτέλεια ναῶν.

λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα παρθένειον
ἔθεντο φιλόμαχοι βραβῆς,
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ παντὶ θυμῷ

---

201. *ἀρωγαν* (*η* supr.) F.

(201) *γυν. τῶν εἰςπραξομένων ποινὰς ὑπὲρ τῆς Ἑλένης* F. — *ἀρ. βοήθειαν* F.

202. *προτέλειαν* B. — *ναῶν* (*η* supr.) F.

(202) *προτ. προθύματα. ἀπὸ τῶν θυμάτων τῶν ἐν τελεταῖς γινομένων* F.

203. — *Ἀντ. κῶλ. ι'* F.

(203) *λιτ. κὰν* (*κἂν* G.) *διὰ τὰς λιτὰς δι' ἃς* (*δι' ἀς* G.) *ἐποιεῖτο πρὸς τὸν πατέρα* M. G. In Marc. *λιτὰς δι' ἃς* — sed adscr. *καὶ δια τὰς*. Ap. R. *καὶ διὰ τὰς λιτὰς δ' ἃς ἐποιεῖτο τὸν πατέρα, παρ' οὐδὲν — αὐτῆς*. Ap. V. *κἂν διὰ τὰς λιτὰς, ἃς —. λιτ. ἱκεσίας* F. — *κλ. φήμας τινὰς ἴσως προμηνυούσας μέλλον τι. ὑπ' ἀνάγκης* F.

(204) *παρ'. παρ' οὐδὲν ἡγήσαντο τὴν ζωὴν αὐτῆς* M. G. V. *τὴν παρὰ εἰς τὸν αἰῶνα παρθένειον σύναπτε, ἵν' εἴη ὁ λόγος σαφής, οὕτω· τὰς λιτὰς δὲ καὶ τὰς ἱκεσίας τὰς πατρῴους καὶ πατρικὰς καὶ τὰς κληδόνας τὰς παρὰ τὸν αἰῶνα τὸν παρθένειον, ἤγ. ἃς ἐποιεῖτο διὰ τὴν ζωὴν τῆς παρθένου, οὐδὲν ἔθεντο, ἤγ. εἰς οὐδὲν ἐλογίσαντο οἱ φιλόμαχοι βραβεῖς, ἤγ. οἱ ἀγωνοθέται καὶ οἰκονόμοι τῆς θυσίας. φιλόμαχοι γὰρ ὄντες ἔσπευδον τάχιον πρὸς τοὺς ἐχθροὺς ἀφικέσθαι* F. (*Ἡμ.*) — *οὐδ'. εἰς οὐδὲν* F. — *αἰῶν. ἤγ. τὰς διὰ τὴν ζωὴν τῆς παρθένου.* F.

205. *βραβῆς* Marc. R.

(205) *φιλ. οἱ* F. — *βρ. οἱ οἰκονόμοι τῆς θυσίας* F.

206. *μετ' εὐχὰν δίκαν* Fl. F. *εὐχαν δίκαν* (*η* bis supr.) F.

(206) *φρ. εἶπε τοῖς παρεστῶσιν* F. — *ἐν ὄσσοις· ἤγ. διὰ νεύματος τῶν ὀφθαλμῶν* F. — *πατ. ὁ* F. — *μετ' εὐχ. μετὰ τὸ εὔξασθαι* F.

207. *χιμαίρας* B. *χειμαίρας* Marc. R.

(207) *δίκ. τρόπον* F. — *χιμ. ζῶου* F. — *ὑπ. ὑπεράνω* F. — *βωμ. τοῦ ἐνταῦθα* F. *τὸ βαλεῖν* F.

(208) *πέπλ. ἐν* F. — *περιπ. περιεσκεπασμένην* M. R. V. *περισκεπ.* G. *περιπεπτωκυῖαν ἢ κεκαλυμμένην* F. — *π. θ. ὅλῃ ὁρμῇ, λαβόντας δηλονότι* F.

προνωπῆ λαβεῖν ἀέρδην, στόματός
τε καλλιπρῴρου φυλακὰν κατασχεῖν
φθόγγον ἀραῖον οἴκοις

βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει.
Κρόκου βαφὰς δ' ἐς πέδον χέουσα,
ἔβαλλ' ἕκαστον θυτήρων
ἀπ' ὄμματος βέλει φιλοίκτῳ,

---

209. προνοπῆ R. (in Sch. l. προνωπῆ).

(209) πρ. προνενευκυῖαν M. G. R. V. ἐνώπιον πάντων, πρὸ ὀφθαλμῶν F. — βαλεῖν· ἐπιθεῖναι F. — ἀέρδ. βαστακτικῶς M. G. R. V. (F. add. ἀπὸ τοῦ ἀήρ).

210. φυλακαν (η supr.) F.

(210) καλλ. εὐμόρφου M. G. R. V. καλλιπροςώπου, ἐκ μεταφορᾶς τῶν πλοίων F. — κατασχ. κρατῆσαι F.

(211) φθ. λέγω F. ἤγ. ὥςτε μὴ κατάραν τινὰ φθέγξασθαι κατὰ τῶν πατρικῶν αὐτῆς οἴκων F. — ὁ πατὴρ δὲ Ἀγαμ. μετὰ τὴν εὐχὴν ἔφρασε καὶ εἶπε τοῖς παρεστῶσι ἐν ὄσσοις, τουτέστιν ἔνευσεν αὐτοῖς ἐν τοῖς ὀφθαλμοῖς, δίκην καὶ τρόπον χιμαίρας βαλεῖν καὶ ἐπιθεῖναι αὐτὴν ὑπεράνω τοῦ βωμοῦ ἀέρδην, ἤτοι βαστακτικῶς παντὶ θυμῷ, ἤγ. ὅλῃ ὁρμῇ λαβόντας δῆλον ὅτι. περιπετῆ δὲ πεπτωκυῖαν ἐν πέπλοις, τουτέστιν ἐπάνω πέπλων, ἐπιθέντας αὐτήν. προνωπῆ δὲ πρὸ τῶν ὀφθαλμῶν πάντων, ἤγ. ἐνώπιον πάντων, καὶ κατασχεῖν τὴν φυλακὴν τοῦ στόματος αὐτῆς τοῦ καλλιπρώρου, ἤτοι κρατῆσαι καὶ φυλάξασθαι το εὐπρόσωπον στόμα αὐτῆς, ὥςτε μὴ κατάραν τινὰ φθέγξασθαι κατὰ τοὺς οἴκους τοῦ πατρὸς αὐτῆς F. (Ἡμ.).

212. βίᾳ· χαλινῶν Fl. Βίᾳ — μένει, F.

212. — Στρ. ἑτέρα κώλ. ια' F.

(212) βίᾳ. τῇ βίᾳ καὶ τῷ ἀναύδῳ μένει (ἀναυδομένει G.) τῶν χαλινῶν τῶν μὴ ἐώντων (ἐόντων G. R.) αὐτὴν (αὐτὸν R. V.) λαλεῖν M. G. V. R. — τῇ F. — χαλ. ἤτοι τῶν χειρων, αἵτινες τὸ στόμα αὐτῆς ἐχαλίνωσαν F. — ἀν. ἀφώνῃ ὁρμῇ F.

(213) κρ. β. τὰ κροκοβαφῆ πέπλα F. — ἐς π. εἰς τὴν γῆν F. — χέουσα· ῥίψασα F.

(214) ἔβαλλ'. ἐτίτρωσκεν F. — θυτ. τῶν οἰκονόμων τοῦ θύματος F. — βέλ. ἐν F.

215. ἀπ' ὄμματος M.

(215) ὀμμ. τῶν αὐτῆς F. — φιλ. οἶκτον καὶ φίλτρον ἔχοντι F.

πρέπουσά θ' ὡς ἐν γραφαῖς, προςεννέπειν
θέλουσ', ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν· ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρὸς φίλου
τριτόσπονδον εὔποτμον
αἰῶνα φίλως ἐτίμα.

---

216. L. χ' ὡς.

(216) πρ. ἤγ. διαπρεπὴς οὖσα ὡς ἀπὸ γραφῆς ἄγαλμα F. — ἐν γρ. διὰ τὸ κάλλος ἢ διὰ τὸ ἀφωνητεῖν M. G. R. V. — πρ. προςλαλῆσαι F.

(217) In F. adscr. σημειωτέον.

(218) ἀνδρ. ἤτοι τοὺς οἴκους F. — εὐτρ. ἤγ. ἐν συμποσίοις F.

219. ἔμελθεν Marc. * ἔμελθεν R. — ἁγνὰ Marc. R. ἁγνᾶ (η supr.) F. — αὐδᾶ Marc. αὐδᾷ (η supr.) F.

(219) ἔμ. ᾖσεν F. — ἁγν. ἐν παρθενικῇ F. — δ'· γὰρ F. — ἀτ. ἄζευκτος, παρθενικὴ M. G. R. V. μὴ συνεζευγμένη ταύρῳ, ἤτοι ἀνδρί, ὡς δάμαλις, ὡς μόσχος F. — αὐδ. φωνῇ F.

220. τριτόσποδον Marc. R. — εὔποτ μον M. εὔποτμον Marc. εὐπόταμον B.

(220) τρ. πολλὰς θυσίας ποιοῦντα ἢ (καὶ V.) εὐωχίας καὶ συμπόσια καὶ πότους καλῶς διακειμένους F. (καὶ πότ. — διακ. om. V.). — εὔπ. ζηλωτὸν ἐποίει δι' ἑαυτὴν τὸν πατέρα M. G. V. R.

(221) αἰῶν. τὴν ζωὴν F. — φιλ. προςφιλῶς F. — ἐτ. ἤτοι ζηλωτὸν ἐποίει δι' ἑαυτῆς τὸν πατέρα F. — τῇ βίᾳ δὲ τῶν χαλινῶν, ἤτοι τῶν χειρῶν, αἵτινες τὸ στόμα αὐτῆς ἐχαλίνωσαν ὥςτε μὴ δύνασθαι φθέγξασθαι, ἐν ἀναύδῳ μένει καὶ ἀφώνῳ ὁρμῇ, ῥίψασα εἰς τὴν γῆν τὰς τοῦ κρόκου βαφάς, τουτέστι τὰ κροκοβαφῆ πέπλα, ἔβαλλε καὶ ἐτίτρωσκεν ἕκαστον τῶν περιεστώτων θυτήρων, ἤγ. τοὺς οἰκονόμους τοῦ θύματος, ἀπὸ τῶν αὐτῆς ὀμμάτων ἐν βέλει φιλοίκτῳ, ἤτοι πάντας ἐκίνει κατοικτείρειν αὐτήν, κατακλῶσα αὐτῶν τὰς ψυχάς. καὶ πρέπουσα ὡς ἐν γραφαῖς καὶ θέλουσα προςεννέπειν, ἤγ. καὶ δίκην ἀγάλματος οὖσα διαπρεπής, καὶ θέλουσα φθέγξασθαι καὶ μὴ δυναμένη. ἀσυνδέτως δὲ τὸ προςεννέπειν θέλουσα εἴρηκεν. Τὰ ἑξῆς δὲ δῆλα, ὅτι πολλάκις ἔμελπεν ἐν τοῖς συμποσίοις κατὰ τοὺς οἴκους τοῦ πατρὸς αὐτῆς. καὶ τιμίαν ἐποίει τὴν ζωὴν τοῦ πατρὸς αὐτῆς ἐν τῇ φωνῇ τῇ παρθενικῇ ᾄδουσα ἐν τοῖς εὐπότοις σπονδαῖς καὶ εὐωχίαις. οὕτω γὰρ δέον εἰπεῖν, ὁ δὲ τὸν αἰῶνα ἔφη τριτόσπονδον καὶ εὔποτον. ἤγ. ζηλωτὸν ἐποίει τὸν ἑαυτῆς πατέρα διὰ τῆς ᾠδῆς αὐτῆς. Ἔθος δὲ ἦν ὡς ἔοικεν ᾄδειν τε καὶ ὀρχεῖσθαι τῶν βασιλέων τὰς θυγατέρας ἐν τοῖς συμποσίοις. δῆλον δέ ἐστι τοῦτο ἐντεῦθεν τε καὶ ἐκ τῆς ὀρχησαμένης Ἡρωδιάδος. F. (Ἡμ.).

Τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι
μαθεῖν ἐπιρρέπει· τὸ μέλλον
ἐπεὶ γένοιτ' ἂν κλύοις· πρὸ χαιρέτω·
ἴσον δὲ τῷ προστένειν·
τορὸν γὰρ ἥξει συνορθὸν αὐταῖς.
Πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς θέλει
τόδ' ἄγχιστον Ἀπίας

---

222. — *Ἀντ. κῶλ. ια'* F.

(222) *τὰ δ' ἔνθ. τὰ ἐντεῦθεν, τὰ ἑξῆς* F. — *εἶδ. ἐθεασάμην* F. — *ἐνν. διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν.* M. G. V. R. (qui ad *εἶδον* refert) *λέγω* F.

(223) *Κάλχ. τοῦ* F. — *ἄκρ. ἀτέλεστοι, ἀλλὰ τελεθήσονται* F.

224. *δίκα* (*η* supr.) F. — *παθοῦσιν* F.

(224) *δίκ. ἡ δικαιοσύνη* F. — *τοῖς· τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν· δίκην γὰρ δόντες μανθάνουσι τὸ μέλλον* M. G. V. R. In Marc. *τοῖς μὲν ποθοσιν·* in F. *τοῖς πεπονθόσιν, φησιν, ἡ δίκη — μανθάνουσιν.* (*Σχ. π.*)

225. *ἐπιρρέπει τὸ μέλλον* M. Marc. G. Fl. A. T. V. C. *ἐπιρρέπει. τὸ μ.* F. — *τόδε προκλύειν* G.

(225) *μαθ. τὸ* F. — *ἐπ. ἤτοι δίδωσι* F.

226. *ἐπιγένοιτ'* (corr. ex *ἐπιγένοτ'*) M. *ἐπιγένοιτ' ἀνκλύοις* Marc. * *ἐπιγένοιτ' ἀνκλύοις* R. *ἂν κλύοις, προχαιρέτω* Fl. F.

(226) *κλ. ἀκούσαις* F. — *προχ. φθαρήτω τὸ μέλλον* F. *σύναπτε τὸ προχαιρέτω εἰς τὸ προκλύειν* Fl.

(227) *δὲ· γάρ* F. — *τῷ προστ. ὁ γὰρ προγινώσκων τὸ μέλλον καὶ προστενάζει* F. V.

228. *συνορθὸν αὐταῖς* Marc. R. *σὺν ὀρθοναύταις* B. *σύναρθρον ἀῦταῖς* Fl. *ἀϋταῖς* F. V. C. Leg. *σύνορτον αὐδαῖς.*

(228) *τορ. φανερόν* M. G. F. V. R. *τὸ πεπρωμένον φανερὸν ἥξει* R. (qui *ἥξῃ* habet) M. G. V. — *ἥξ. τὸ μέλλον* F. — *σύναρθρ. συνηρμοσμένον βοαῖς καὶ θρήνοις. συνίζησις* F.

229. *πέλοι δ' οὖν* Marc. R.

(229) *πέλ. γένοιτο* F. — *τἀπὶ τούτ. ἤγ. μετὰ ταῦτα, τὰ ἑξῆς* F. — *εὔπρ. εὐπραγία.* M. G. F. V. R. — *ὡς· καθὰ* F.

(230) *ἄγχ. τὸ συγγενικόν* M. G. V. R. *ἤγ. ἡμεῖς τὸ συγγενικόν, ἤγ. οἱ ὁμόφυλοι.* F. — *Ἀπ. τῆς Πελοποννήσου* F.

γαίας μονόφρουρον ἕρκος.

Ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου.
Σὺ δ' εἴτε κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

Κλ. Εὐάγγελος μέν, ὥςπερ ἡ παροιμία,

---

231. ἔρκος Fl. G. A.

(231) γαίας. γῆς F. — μον. ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα M. G. V. R. ἤγ. ἡμεῖς οἱ καταλειφθέντες μόνοι εἰς φρουρὰν τῆς χώρας F.

232. Κλυταιμήστρα M. Marc.

232. — Αἱ ἑξῆς αὗται συστηματικαὶ (συστημάτων V.) περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ςζ', ὧν τελευταῖος χάρις γὰρ οὐκ ἄτιμος εἴργεσθαι (εἴργασται V.) πόνων. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῷ τέλει κορωνὶς εἰςιόντος (κορ. ἐστι τοῦ V.) χοροῦ F. (Ἡμ.) V. Εἴσθεσις διπλῆς ἀμοιβαίας συνεχοῦς καὶ μονοστροφικῆς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ςζ'. Dind. (non leg. in F.)

(232) ἥκ. ἦλθον F. — σεβ. τιμῶν F. — Κλ. ὦ F.

(233) δίκ. δίκαιον F. In B. adscr. γνώμη. — φωτ. ἀνδρός F. — ἀρχ. βασιλέως F. — τίειν· τιμᾷν F.

(234) ἐρ. ἤγ. ἀποδημοῦντος βασιλέως F. ἤγ. ἐρήμου καταληφθέντος (καταλειφθέντος V.) τοῦ θρόνου τοῦ βασιλέως, ὡς ἀποδημοῦντος ἐκείνου· παρόντος μέντοι οὐ δεῖ ἐντυγχάνειν αὐτῇ πάντα καὶ τὸν τυχόντα. F. (Σχ. π.) V. In M. Marc. G. R. tantum παρ. — συντυγχάνειν αὐτῇ (R. αὐτοῖς).

235. δ' εἴτε M. (corr. ex δ' εἴτο).

(235) κεδν. ἀγαθόν F. — μὴ· ἤγ. κακὸν ἀκούσασα (corr. ἀκούσουσα) F.

236. εὐαγγελλοῖσιν A. — ἐλπίσειν M. Marc.

(236) εὐαγγ. ἤγ. καλὴν ἀγγελίαν προςδοκῶσα F. — θυηπ. περὶ θυσίας διατρίβεις F.

237. σιγώισῃ Marc. σιγῳσῃ G.

(237) κλ. ἀκούσαιμί σου F. — εὔφρ. καλῶς φρονοῦσα F. — σιγ. ἤγ. εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἂν (οὐκ ἐμιψαίμην ἂν M.) M. G. F. V. R. (qui ad κλ. ἂν εὔφρ. ista adscripsit).

(238) εὐαγγ. καλὰ ἀγγελοῦσα F. — ἡ παρ. ὁ παλαιὸς λόγος M. G. παλαιὸς λόγος V. λέγει δηλονότι F.

Ἕως γένοιτο μητρὸς Εὐφρόνης πάρα·
πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.
Χο. *Πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.*
Κλ. *Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;*
Χο. *Χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.*
Κλ. *Εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.*

---

[238] Eust. *ad Il.* I, 9 p. 22, 33: *παρέοικε δὲ πάντως τῇ τοῦ Σοφοκλέους ἐννοίᾳ* (Trach. 94) *καὶ Αἰσχύλου ἐν Ἀγαμέμνονι τὸ· εὐάγγελος ἠὼς γένοιτο μητρὸς εὐφρόνης πάρα. Ὡς γὰρ ἐκ νυκτὸς ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης.*

239. *ἕως* Marc.

(239) *ἕως· ἡ ἡμέρα* F. — *γέν. ἤγ. γένοιτο καλὴ ἡ ἡμέρα, ὥςπερ καὶ ἡ νὺξ ἡ αὐτὴν γεννήσασα* F. In M. G. R. V. tantum *γέν. καλὴ ἡμέρα, ὥςπερ ἡ νύξ.*

240. *πεύσῃ* G. A. R.

(240) *πεύσ. ἀκούσῃ* F. — *χάρμ. χαράν* F. — *μεῖζ. ἤγ. μεῖζον τοῦ ἐλπίσαι τινὰ ἀκοῦσαι τοῦτο. ἤγ. ὑπερέλπιδα* (l. *ὑπὲρ ἐλπίδα*) F.

241. *ᾑρήκασιν* Fl.

(241) *ᾑρ. ἐκράτησαν* F.

242. *φὴ'ς* (acc. gr. exp.) M. *φὴς* Marc. *φῃς* G. *φῄς* Fl. F. — *ἐξαπιστείας* A.

(242) *φῄς· λέγεις* F. — *πέφ. τὴν ἀκοήν* F. *τοῦτο παρὰ τὸ ποῖον σε ἔπος φύγεν ἕρκος ὀδόντων;* (Il. IV, 350) *ἤγ. ἔξω τῆς ἀκοῆς μου, ἐξ ἀπιστίας ὁ λόγος σου γέγονεν* F. (*Σχ. π.*)

243. *Τρόαν* B. — *λέγω.* Fl. F.

(243) *ἦ. ὄντως* Fl. F. — *τορ. ἀληθῶς* F. *ὄντως ἀληθῶς λέγω τὴν Τροίαν οὖσαν τῶν Ἀχαιῶν, ἤγ. ἀληθῶς λέγω κρατηθῆναι τὴν Τροίαν ὑπὸ τῶν Ἀχαιῶν* F. (*Σχ. π.*)

(244) *ὑφ. ἐν ψυχῇ γίνεται* F. — *δάκρ. ἐκκ. τινὲς γὰρ καὶ ἀπὸ χαρᾶς δακρύουσιν* F.

[244] Eust. *ad Od.* XIX, 471: *τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα] ὅθεν λαβών, φασι, Σοφοκλῆς ἔφη· ὡς χάρμα ὑφέρπει δάκρυον ἐκκαλούμενον.* — Schol. ad l. l. *Σοφοκλῆς· ὡς χάρμ' ὑφέρπει δάκρυον ἐκκαλούμενον.* Alius ap. H. *Σοφοκλῆς· χάρμα ὑφέρπει δάκρυον ἐκκαλουμένη.* Fortasse tamen Sophoclis nomen recte positum, qui Aeschyli versum mutatum suum fecit. Cf. Eur. fr. 1054.

(245) *εὖ γὰρ φρονούσης. ἤγ. τὸ ὄμμα σου δεικνυσί σε πρὸς τὸ εὔθυμον διατεθεῖσαν ἀπὸ φρονήσεως* F.

Χο. Τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;
Κλ. Ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.
Χο. Πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;
Κλ. Οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
Χο. Ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;
Κλ. Παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.
Χο. Ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;
Κλ. Τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω·
Χο. Καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
Κλ. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.

---

246. τὶ γὰρ (utr. acc. exp.) τὸ M. — ἐστιν Marc. R. ἐστι B. Fl. F.

(246) γάρ. δὲ F. — τῶνδε· ὧν λέγεις F. — τέκμ. σημεῖον F.

247. ἔστιν. τί δ' οὐχι Fl. Marc. R. ἐστι. τί B.

(247) ἔστ. σημεῖον F. — οὐχί· οὐκ ἔστιν F. — μὴ δολ. εἰ μήπω θεός με ἀπατᾷ M. G. V. R. δολερῶς ἀπατήσαντος F. — θεοῦ· τινός F. εἰ μή τις θεός με δηλονότι ἀπατᾷ, σημεῖον ἀληθέστατον ἔχω F. (Σχ. π.)

248. εὐπειθῆ M. Marc. R. (in M. corr. ex εὐπειθεῖ).

(248) ποτ. ποῖον ἐστι F. — ὀν. ἤγ. ὀνείροις κατεπείσθης F. — σέβ. τιμᾷς F.

249. βριζ ύσης Marc.

(249) οὐ δόξ. ἤγ. οὐ δοξάσει τις περὶ ἐμοῦ, ὡς ῥαθύμως ἐφύλαττον F. (loquitur in F. ἀγγ. φυ.). — βρ. νυσταζούσης (Fl.), ἤτοι κοιμωμένης F. βρίζειν κυρίως τὸ μετὰ βορὰν καὶ τροφὴν ἵζειν, ὅ ἐστι κοιμᾶσθαι F. (Σχ. π.)

250. ἀλλ' ἦ B. ἀλλ' ἦ σ' A.

(250) ἦ. ἆρα F. — ἐπ. ἴανεν, εὔφρανεν F. — ἄπτ. κούφη Fl. ἰσόπτερος, κούφη. M. G. V. ἡ ἄνευ πτερῶν ταχεῖα φήμη F.

[250] Hes. ἄπτερος· αἰφνίδιος παρὰ Ὁμήρῳ. ὁ προσηνὴς καὶ ταχύς. Αἰσχύλος Ἀγαμέμνονι. αἰφνίδιον.

(251) νεᾶς· νεαρᾶς F. — ὥς· ὥσπερ F. — κάρτ'. λίαν F. — ἐμ. ἐμέμψω, ἐλογίσω F. — φρ. ἐμοῦ F.

(252) ποίου. ἐπὶ F.

(253) τῆς. ἐπὶ F. — φῶς. ἤγ. τὴν παροῦσαν ἡμέραν F. — εὐφρ. νυκτός F.

(254) ἐξίκ. καταλάβοι F.

255. In M. expuncto *Κλυταιμ.* scriptum ἀγγ.

(255) Ἥφ. Ἴδ. ἤγ. πῦρ τοῦ ὄρους F. — Ἴδ. ὄρος Fl. ἐμήνυσε τοῦτο δηλονότι F. — σέλ. φῶς F.

φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγέλου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ φανὸν ἐκ νήσου τρίτον
Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο·
ὑπερτελής τε, πόντον ὥςτε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
πεύκη τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος

---

256. *ἀπ' ἀγγέλου* M. Marc. In M. *ρ* in marg.

(256) *φρ. ἤγ. πυρσός* F. — *δεῦρ'. ἐνταῦθα* F.

[256] Etym. M. p. 7, 16: *Αἰσχύλος ἐν Ἀγαμέμνονι τὸν ἐκ διαδοχῆς πυρσὸν ἀπ' ἀγγάρου πυρὸς ἔφη.* Cf. Bekk. *Anecd.* p. 212, 5. — Suid. *ἄγγαροι· οἱ ἐκ διαδοχῆς γραμματοφόροι· οἱ δὲ αὐτοὶ καὶ ἀστάνδαι· τὰ δὲ ὀνόματα Περσικά. Αἰσχύλος Ἀγαμέμνονι· φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπεν.* Cf. Bekk. *An.* p. 325, 13. — Eust. *ad Od.* XIX, 28 p. 1854, 26: *παρὰ τῷ αὐτῷ δὲ ποιητῇ ἐν Ἀγαμέμνονι καὶ οἱ ἄγγαροι κεῖνται, λέξις φανερῶς Περσική· φρυκτὸς φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπε. Τοιοῦτον δὲ τὸ τῶν φανῶν.*

257. *ἕρματον* B.

(257) *Ἑρμ. ὄρος Λήμνου* (M. G.), *ἐν ᾧ ἐτιμᾶτο ὁ Ἑρμῆς.* Fl. F. V. — *λέπ. ἀκρωτήριον* F.

(258) *φαν. τὴν λαμπάδα* M. G. *λαμπάδα* V. R. — *νήσ. τῆς Λήμνου* F.

[258] Athen. XV, p. 700e: *πρότερος δὲ τούτων* (Menander et Diphilus memorati erant) *Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ.*

(259) *Ἄθωον. ἤγ. ὁ Ἄθως* F. — *αἶπ. ὕψος* F.

[259] Schol. Vict. *ad Il.* XIV, 229 *ἐξ Ἀθόω*]. *Ἄθως ὄρος ἐν Θράκῃ μέγα τε καὶ ὑψηλόν· — τιμᾶται ὁ Ζεὺς ἐν αὐτῷ. Αἰσχύλος Ἀγαμέμνονι· Ἀθῷον αἶπος Ζηνὸς ἐδέξατο. Τοῦτο δὲ τὸ ὄρος στάδια τριακόσια Λήμνου ἀπεχὸν σκιάζει αὐτήν.*

260. *ὑπερ τελησ τε* M. *ὑπερτελήστε* Marc. *ὑπερτελής τε* B. — *πόντων* A.

(260) *ὑπὲρ ἕλης τε. ὑπὲρ τὸν Ἑλλήςποντον* F. *σημείωσαι, ὡς ἡ Ἕλλη τὸ κύριον· διπλασιάζουσα τὸ λ πρὸς διαστολὴν τῆς θερμαινούσης ἕλης, ἀπέβαλε νῦν αὐτὸ διὰ μέτρου ἀνάγκην· τὸ δὲ ὑπὲρ προςέλαβε τὸ ι διὰ τὴν αὐτὴν αἰτίαν.* F. (*Σχ. π.*) — *νωτ. ὑπερβῆναι* (M. G. R.) *τὰ νῶτα* F. *ὀπίσω ἀφεῖναι, ἤγ. κατὰ τὰ νῶτα· κατὰ τὰ νῶτα γὰρ ἀφίεται ὁ Ἑλλήσποντος τοῖς ἐγγίσασι τῷ Ἄθωνι.* F. (*Σχ. π.*)

(261) *ἰσχ. μεγίστη πεύκη, ἰσχὺς πυρός.* M. G. V. R. *δύναμις ἐστί* F. — *πορ. τῆς* F. *τοῦ ἐκ διαδοχῆς πορευομένου πυρσοῦ καὶ ἡδονὴν φέροντος* F.

(262) *πεύκη. ἡ* F. — *τὸ χρ. τὸ λαμπρόν* F.

σέλας παραγγείλασα Μακίστου σκοπάς

. . . . . .

ὅ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
Οἳ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω,
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί·

---

263. *Μακίστου*, M. Marc. B. —, *Μακίστου σκοπὰς*, R. — (*γράφεται σκοπᾶς*. Steph. p. 378). Post *σκοπὰς* f. excidit *ἥκει προσαιθρίζουσα πόμπιμον φλόγα.*

(263) *σέλ. αὐτοῦ* F. — *παρ. ἤγ. φθάσασα διὰ τοῦ φῶτος* F. *ὁ εἰδὼς πῶς λέγεται παραγγέλλειν τὸ βρέφος εἰς παῖδα καὶ τὸν παῖδα εἰς ἄνδρας, οἶδε καὶ πῶς λέγεται ὁ ἐκ τοῦ Ἄθω πυρσὸς παραγγεῖλαι εἰς τὰς σκοπιὰς τοῦ Μακίστου, ὄρους Εὐβοίας. παρήγγειλε γὰρ πάντως ἐκεῖσε, οἷα τεθεαμένος τοῖς ἐκεῖ φύλαξιν* F. (*Σχ. π.*). — *Μακ. Μάκιστον ὄρος Εὐβοίας* M. G. *ὄρος Εὐβοίας* Fl. F. — *σκ. τὰς σκοπιάς* F. *ἡ πεύκη, φησίν, ἰσχύς τις καὶ δύναμις ἐστὶ τῆς λαμπάδος, ἤτοι τοῦ πυρσοῦ, παραγγείλασα καὶ φθάσασα τὰς σκοπιὰς τοῦ Μακίστου ὄρους πρὸς ἡδονὴν ἡμετέραν διὰ τὸ εὐάγγελος εἶναι ὥςπερ τις ἥλιος πέμπων δηλονότι τὸ χρυσοφαὲς καὶ λαμπρὸν σέλας αὐτῆς.* F. (*'Ημ.*)

264. *ὃ δ' οὐτὶ* G.

(264) *ὁ δ'· ὁ τόπος* M. G. *ἤγ. ὁ Μάκιστος* F. — *μέλλ. βραδύνων* F. — *ἀφρ. ἀνοήτως, ἀμελῶς* F.

(265) *νικ. ἤγ. ἡττηθεὶς ῥαθυμίᾳ* F. — *παρῆκ. ἀπέλειψεν* F. — *ἀγγ. μέρ. ἤγ. τὸ ἄγγελος καὶ αὐτὸς ἐν μέρει φανῆναι.* F. *κοινὸν τὸ ἔπεμπεν.* M. G. (Gl. spectat vs. 257).

(266) *ἑκ. μακράν* F. — *δὲ. γάρ* F.

267. *Μεσσαπίου-μολόν* Marc. R. *Μεσσαπίου* R. (in Sch. l. *Μεσσάπου*). — *μολὼν* Fl.

(267) *Μεσσ. Μέσσαπον* (*Μεσάπιον* V.) *ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας* M. G. V. R. *Μεσαπίου· ὄρος* Fl. *ὄρος* — *Βοιωτ.* F. — *φύλ. τοῖς* F. — *σημ. δεικνύει* F. — *μολ. ἐλθὸν τὸ φῶς* F.

(268) *οἱ δ'*, *οἱ φύλακες* F. — *παρήγγ. ἔφθασαν διὰ τοῦ πυρός* F. — *πρ. ἔμπροσθεν* F.

269. *ἐρείκης* M. (corr. ex *ἐρίκης*). — *θωμὸν* (expuncto ˜ sup. *ω*) M.

(269) *γρ. παλαιᾶς* F. — *ἐρ. εἶδος φυτοῦ* F. — *θωμ. σωρόν* G. Fl. F. V. R. *θωμόν. σωρόν* (*ς* sup. utr. *ν*) M. (ad dextram *θωμός· στρατός* (*ν* sup. utr. *ς*), sed expuncta. Fort. l. *στρωτός*). — *πυρί. ἐν* F.

σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
Φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρά, πλέον καίουσα τῶν εἰρημένων·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρός.
Πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ

---

(270) *σθ.* *ἰσχύουσα* F. — *λαμπ.* *ἤγ. ὁ πυρσός* F. — *δ'.* *γὰρ* F. — *μαυρ.* *ἀμαυρωθεῖσα καὶ οἷον ἀποκάμνουσα* F. *σημείωσαι ὅτι ἀπέβαλε τὸ ᾱ διὰ τὸ μέτρον* F. (*Ἡμ.*) V.

271. *παιδίον ὠποῦ* Marc. *ὠ ποῦ* M. *ὠπου* B.

(271) *ὑπ.* *ἤγ. διαδραμοῦσα, διελθοῦσα* F. — *πεδ.* *τὸ* F. — *Ἀσ.* *τοῦ* F. *ποταμοῦ Θετταλίας* F. — *δίκ.* *τρόπον* F.

(272) *φαιδρ.* *λαμπρᾶς* F. — *λέπ.* *ἀκρωτήριον* F.

(273) *ἤγ.* *ἀναλάμψαι πεποίηκεν* F. — *ἐκδ.* *διαδοχήν* F.

274. *ἠνεναίτο* R.

(274) *τηλ.* *τὸ μακρὰν πέμπον ἑαυτό* F. — *οὐκ ἠν.* *ἀλλ' ἐπῃνεῖτο δηλονότι* F.

(275) *φρ.* *ἡ τοῦ Κιθαιρῶνος* M. G. V. R. (qui ista ad *πλ. καίουσα* adscr.) *φυλακὴ λέγω ἣν ἐκεῖ* F. — *καίουσ.* *ἤγ. καὶ ἄλλοι φρυκτοὶ ἐγένοντο· οὗτοι δὲ ἦσαν ἐξαιρέτοι οἱ ἐν Κιθαιρῶνι.* F.

276. *λίμνην* M. (corr. ex *λήμνην*).

(276) *ἔσκ.* *ἔπηλθεν* F. — *φάος·* *ἤγ. πυρσός.* F.

277. *τ' ἐτ'* R. — *Αἰγίπλακτον* F.

(277) *Αἰγ.* *ὄρος Μεγαρίδος* M. G. V. R. *ἤγ. τῆς Μεγαρίδος, εἰς ὃ αἶγες πλανῶνται* F. — *ἐξικν.* *ἤγ. φθάνον* F.

(278) *ὤτρ.* *παρεκίνει* F. — *θεσμ.* *νόμον, ἔθος* F. — *χαρ.* *τοῖς ἑξῆς* F.

(279) *πέμπ.* *τοῖς ἑξῆς* F. — *ἀνδ.* *ἀνακαίοντες* F. — *ἀφθ.* *πολλῷ* F. — *μέν.* *σθένει, δυνάμει* F.

280. *μεγαπώγωνα* B.

(280) *μέγ. πώγ.* *ἤτοι μέγαν πυρσόν* F. *πώγωνα λέγει τὴν εἰς ὀξὺ λήγουσαν ἀκμὴν τοῦ πυρός. καὶ ὁ πώγων γὰρ εἰς ὀξὺ λήγει. ὥσπερ καὶ ἐν ἑτέρῳ* (Prom. 64) *αὐθάδη γνάθον τὴν ἀκμὴν εἴρηκε καὶ ὀξύτητα τῆς σφηνός* F. (*Ἡμ.*) V. (qui pro *ἐν ἑτ.* habet *ἀλλαχοῦ*). — *σημείωσαι* (*δὲ* add.

πορθμοῦ κάτοπτρον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
'Αραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' 'Ατρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ' οὐκ ἄπαππον 'Ιδαίου πυρός.
Τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
Τέκμαρ τοιοῦτον σύμβολόν τε σοὶ λέγω

V.), ὅτι ἐκ τούτου ὠνομάσθη παρὰ τοῖς μετεορολόγοις (μετεωρολόγοις V.) πωγωνίας ἀστήρ F. (Σχ. π.) V. — Σαρ. κόλπος (Fl.) περὶ Τροιζῆνα M. G. F. R. V.

[280] Poll. II, 88. ἐν τῇ τραγῳδίᾳ πώγων πυρὸς ἡ εἰς ὀξὺ ἀναδρομὴ τῆς φλογός.

281. κάτοπτρον Marc. κάτοπτρον πρῶν οὑπερβαλλ" G. κάτο πτρονοῦ περβάλλειν A. κάτοπτρον οὐχ ὑπ. T. κάτοπτον C.

(281) κάτοπτρον. τὸ F. τὸ κατόψιον M. G. R. V. — πρ. τὴν ἐξοχήν F. — ὑπ. διελθεῖν F. — πρ. ἔμπροσθεν F. πέμπουσι δέ, φησι, πώγωνα μέγαν φλογός, ἤγ. μεγάλην φλόγα, φλέγουσαν καὶ λάμπουσαν ὥστε ὑπερβάλλειν πρόσω, ἤτοι διελθεῖν, καὶ τὸν πρῶνα τοῦ Σαρωνικοῦ πορθμοῦ. τὸ κάτοπτρον λέγω, ἤγ. τὸν διαφανῆ καὶ περίβλεπτον· εἰ δὲ βούλει, τὸν πρῶνα λέγε, τοῦ Σαρωνικοῦ κόλπου δηλονότι. τὸ κάτοπτρον τοῦ πορθμοῦ, ἤτοι τὸν ἀντικρὺ κείμενον καὶ κατ' ὀφθαλμοὺς ὡς εἰπεῖν τοῦ πορθμοῦ. F. ('Ημ.).

282. εἶτ' — εἶτ'. B. Fl. F.

(282) φλ. λάμπουσαν F. — ἔσκ. ἐπῆλθεν F. — ἀφ. ἐκ παραλλήλου F.

283. αἶπος (corr. ex ἔπος) B. αἶπος A. — ἀστυγειτονασκόπας G. ἀστυγείτονα σκόπας A. ἀστυγείτονας σκόπας F.

(283) 'Αρ. ὄρος ῎Αργους M. G. Fl. R. V. εἰς ὄρος ῎Αργ. F. — αἶπ. ὕψος F. — ἀστ. ἤγ. τὰς πλησιαζούσας τῷ ῎Αργει F. — σκ. σκοπιάς F.

284. ἐς τόγε Marc. ἐς τό γε R. εἰς τόδ' ἐνσκήπτει B.

(284) σκ. ἐμπίπτει F. — στ. τὸν οἶκον F.

(285) οὐκ ἄπ. οὐ ξένον, ἀλλὰ συγγενές Fl. F. V.

(286) τοιοίδ'. τοιοῦτοι εἰσιν F. — ἕτοιμοι. πρόχειροι F. — λαμπ. ἤγ. τῶν τοὺς πυρσοὺς ποιούντων F. — νόμ. τὸ ἔθος F.

(287) διαδ. ἐν F. — πλ. τελούμενοι F.

(288) ὁ πρ. ὁ ἀρξάμενος ἐν ῎Ιδῃ καὶ σημήνας ἡμῖν τοῖς ἐν τῷ 'Αραχναίῳ F.

289. τοιοῦτοι B.

ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
Χο. Θεοῖς μὲν αὖθις, ὦ γύναι, προςεύξομαι·
λόγους δ' ἀκοῦσαι τούςδε κἀποθαυμάσαι
διηνεκῶς θέλοιμ' ἄν· ὡς λέγοις πάλιν.
Κλ. Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν·
ὄξος τ' ἄλειφά τ' ἐκχέας ταὐτῷ κύτει
διχοστατοῦντ' ἂν οὐ φίλως προςεννέποις·
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.

---

(289) τοσοῦτ. τὸ F. κοινή. Fl. — σύμβ. σημεῖον τῆς νίκης F. τοῦτο μοι, φησί, παρήγγειλεν ὁ Ἀγαμέμνων σύμβολον ἐκ Τροίας εἶναι τοῦ τέλους αὐτῆς F. (Σχ. π.).

(290) παρ. εἰπόντος F.

(291) αὖθ. ἤγ. μετὰ ταῦτα F. — πρ. διὰ τὴν νίκην F.

(292) ἀκ. σὲ. F.

(293) διην. ἀεὶ, διαμακροῦ F. — ὡς. ἵνα F.

294. Τροίην B.

(294) ἔχ. κατέχουσιν F.

(295) ἄμ. μὴ ἡνωμένην ἀλλὰ διῃρημένην F. — πόλ. τῇ Τροίᾳ F. — πρ. ἁρμόζειν, γίνεσθαι F.

296. ἐγχέας C.

(296) ὄξ. λείπει τὸ ὡς Fl. F. — ἀλ. ἔλαιον F. — ταὐτ. ἑνὶ (l. ἐνὶ) F. — κύτ. ἀγγείῳ F.

297. διχοτατοῦντ' B.

(297) διχ. μαχόμενα F. — φίλ. προςφιλῶς F. — πρ. εἴποις ἂν F.

(298) ἁλ. πορθηθέντων F. — κρ. νικησάντων F. — δίχ. διπλῶς F.

(299) φθ. φωνάς F. — συμφ. ἕνεκα F. — διπλ. ἤτοι τῆς συντυχίας ἁπλῶς (cf. 422.) F. — (295—299): ἄμικτον βοὴν λέγει, ἤτοι διῃρημένην· οὐ γὰρ ὁμοία ἐστὶν ἡ τῶν ἁλόντων βοὴ καὶ τῶν κρατησάντων. οἱ μὲν γὰρ θρηνοῦσιν, οἱ δὲ ἐπινίκια ᾄδουσι (cf. Schol. ad vs. 16). Θέλων δὲ δεῖξαι τὴν αὐτὴν διαίρεσιν καὶ μάχην, φησίν· ὡςπερεὶ ἐν ἑνὶ κύτει καὶ ἀγγείῳ ἐκχέας ὄξος καὶ ἔλαιον, προςείποις ἂν αὐτὰ, ἤγ. καλέσεις διχοστατοῦντα καὶ μαχόμενα οὐ φίλως ἀλλ' ἐχθρῶς δηλονότι, τὸν αὐτὸν τρόπον καὶ τῶν ἁλόντων καὶ κρατησάντων τὰς φωνὰς ἔστιν ἀκούειν διπλᾶς. καὶ πῶς ἑξῆς λέγει. Οὕτω δέον εἰπεῖν τὴν παραβολὴν, ὁ δὲ ξενοτρόπως ἐπήνεγκεν ἄνευ τοῦ ὡς καὶ ἄνευ τοῦ τὸν αὐτὸν τρόπον, ὥςπερ ἡμεῖς σαφηνείας εἰρήκαμεν ἕνεκα. F. (Ἡμ.)

Οἳ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων
παῖδες γερόντων οὐκέτ' ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον·
τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστις πρὸς ἀρίστοισιν, ὧν ἔχει πόλις,
τάσσει πρὸς οὐδὲν ἐν μέρει τεκμήριον,
ἀλλ', ὡς ἕκαστος ἔσπασεν τύχης πάλον.
Ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες ὡς δυσδαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.

---

(300) *οἱ μέν.* οἱ ἁλόντες F. — *ἀμφί.* περί F. — *πεπτ.* τοῖς σφαγεῖσι καὶ τεθνηκόσιν F.

(301) *κασ.* ἀδελφῶν F. — *φυτ.* τῶν ἐκ τῆς αὐτῆς φυλῆς (l. φύτλης) ἢ φυτοσπόρων F. οὐ (del. Lobeck Pathol. p. 99) κατὰ τὸν φυτάλμιον Δία ἐνταῦθα ἡ ἐτυμολογία· ἐκ τῆς φύτλης δὲ γίνεται φυτλάμιος (φυτάλμιος V.), ἤγ. φυτοσπόρος, καὶ μεταθέσει διὰ καλλιφωνίαν φυτάλμιος F. (Σχ. π.) V.

(302) *ἐξ ἐλ.* ἀλλ' ὑπεζευγμένης (?) τῇ δουλείᾳ F.

(303) *δέρ.* ἤγ. στόματος. ἀπὸ μέρους F. — *ἀπ.* θρηνοῦσι F. — *μόρ.* θάνατον F.

(304) *τοὺς δ'.* τοὺς κρατήσαντας F. — *αὖτ.* πάλιν F. — *νυκτ.* ἐν νυκτὶ γὰρ ἐκρατήθη ἡ Τροία F.

(305) *νήστεις·* ἀσίτους F. — *πρ. ἀρ.* ἤτοι πρὸς δεῖπνα. διὰ τὸ μέτρον F. — *ὧν.* βρωμάτων δηλονότι F.

(306) *τάσσ.* ἄγει F. — *πρ.* ἤγ. οὐ πρός τι σημεῖον κατ' ἀξίαν γινόμενον F.

307. ἔσπασε B.

(307) *ἔσπ.* ἔλαβεν F. — *πάλ.* κλῆρον F.

309. *δ' ὑπαιθρίων* Schütz.

(309) *ναίουσ.* οἰκοῦσιν F. — *ὑπ.* ἃ ὑπαίθριοι κείμενοι ὑφίσταντο F. — *πάγ.* ὀρῶν ἢ παγετῶν F. ἢ τῶν ψυχρῶν λέγει παγετῶν, ἢ τῶν ὀρεινῶν τόπων τῶν ὑπὸ τὸν αἰθέρα ὄντων F. (Σχ. π.)

(310) *δρ.* τῶν ἑωθινῶν F. — *ἀπ.* ἐλευθερωθέντες F. — *ὡς δυσδ.* ὄντες πρότερον F. ὄντες πρότερον δηλονότι δυστυχεῖς, νῦν ἀμερίμνως εὑδήσουσιν F. (Σχ. π.)

(311) *ἀφ.* ἄφοβον F. — *εὑδ.* ὑπνώσουσιν F. — *εὐφρ.* νυκτά F.

Εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὐκ ἄν γ' ἑλόντες αὖθις αὖ θάνοιεν ἄν.
Ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
πορθεῖν ἃ μὴ χρὴ κέρδεσιν νικωμένους·
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
κάμψαι διαύλου θάτερον κῶλον πάλιν.
Θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατός,
ἐγρήγορον τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
Τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις·

---

(312) *εὐσ. εὐσεβῶς διατεθῶσι περὶ ἐκείνους* F.
(313) *ἁλ. πορθηθείσης* F. — *ἱδρ. καθέδρας, ναούς* F.
314. *οὐκ ἂν ἑλόντες* H. — *ἀνθαλοῖεν* Aur.
(314) *ἑλ. πορθήσαντες* F. — *αὖθ. πάλιν* F. — *αὖ· δή* F. — *θάν. ἤγ. φθαρεῖεν διὰ τὴν ἀσέβειαν* F.
(315) *ἐμπ. ἤγ. ἐμπέσοι* F.
316. *πορθεῖν* Fl.
(316) *πορθ. ὥςτε* F. — *ἃ μὴ χρή. ἤγ. τὰ τῶν θεῶν ἱδρύματα* F. — *κέρδ. ἐν* F.
(317) *δεῖ. πρέπει* F.
318. *κάμψαι* Fl.
(318) *κάμψ. κλῖναι λέγω* F. — *διαύλ. ἐπειδὴ ὁ δίαυλος δύο ἔχει σταδίους, ὧν τὸν ἕτερον διῆλθον ἤδη εἰς Τροίαν ἀνελθόντες, δεῖ λοιπὸν καὶ τὸν ἄλλον διελθεῖν, καὶ ὑπονοστῆσαι πρὸς τὸν οἶκον.* F. (*Σχ. π.*) V. — *κῶλ. ἤτοι μέρος* F.
319. *δ' ἀναμπλάκητος* Fl.
(319) *ἀν. ἀναμάρτητος* F. — *μόλ. ἐλεύσεται* F.
(320) *ἐγρ. ἤγ. ζῶν καὶ μένον καὶ ἀεὶ ᾀδόμενον· ἐκ μεταφορᾶς τῶν μὴ ὑπνούντων* F.
(321) *γέν. ἤγ. διηνεκῶς ἔσται τὰ κακὰ τοῖς Τρωσὶν* F. — *πρ. πρόσφατα· νῦν προςπαίσαντα καὶ προςκρούσαντα αὐτοῖς* F. V. *εἰ μή ποθεν ἔλθοι τοῖς Ἕλλησι κακόν τι νέον ἐξ ἐπελθούσης τινὸς συμμαχίας τοῖς Τρωσίν· ὃ δὴ καὶ πτοηθέντες ἴσως ὅσον τάχος ἀποπλεύσουσιν* F. (*Σχ. π.*)
322. *τοιαῦτά τοι* F.
(322) *τοιαῦτα· αἰσθάνεται γὰρ ὑπὲρ γυναικείαν φύσιν ταῦτα ἐξενεγκὼν ὁ ποιητής* F.

τὸ δ' εὖ κρατοίη μὴ διχορρόπως ἰδεῖν·
πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.
Χο. Γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις·
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προςειπεῖν εὖ παρασκευάζομαι·
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

Ὦ Ζεῦ βασιλεῦ καὶ Νὺξ φιλία,
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν

---

(323) κρ. νικῴη F. — διχ. ἀμφιβόλως, ἀλλὰ βεβαίως F. — ἰδ. ὥςτε F. αὐτὸ τὸ εὖ F.

(324) ἐσθλ. ὁποῖον καὶ ὁ νοστός F. — ὄν. τὴν ὠφέλειαν F. — εἱλ. ἀνθειλόμην F. ὅτι πολλῶν χρημάτων προκριτέα ἡ ὄνησις. εἰ γὰρ ἐξ ὧν ἔχει τις ἀγαθῶν ὄνησίν τινα μὴ λαμβάνει, μάταια πάντ' ἂν εἴη. F. (Σχ. π.) In F. adscr. σημειωτέον.

(325) γύν. ὦ F. — κατ'. ἤγ. ὡς ἀνὴρ συνετὸς ἐλαλήσας F. — εὐφρ. φρονίμως F.

(326) πιστ. βέβαια F. — τεκμ. σημεῖα F.

(327) προς. ἐπικαλέσασθαι, ὑμνῆσαι F. — παρ. ἑτοιμάζομαι F. Adscr. in F. τὸ σχῆμα προέκθεσις.

328. εἴργεσθαι. Cf. metr. ad vs. 232.

(328) οὐκ ἄτ. τιμώμενοι γὰρ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς F. V.

329. — Εἴρηται ἡμῖν ἐν τῷ τῶν Περσῶν δράματι περὶ τοῦ εἴδους τούτου τοῦ χοροῦ (τῶν χορῶν V.)· ὅμοιον γάρ ἐστιν ἐκείνοις καὶ τοῦτο· ἔχει γὰρ ἐν ἀρχῇ μὲν σύστημα ἐπιφθεγματικὸν, εἰς δύο διῃρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβ', ἑξῆς δὲ στροφὰς τρεῖς (γ' V.) καὶ ἀντιστροφὰς τοσαύτας καὶ ἐπῳδόν· καλεῖται δὲ ταῦτα ἑπτὰς (ἑπτὰ V.) ἐπῳδική. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος. F. (Ἡμ.) V. Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρλς', ὧν τὰ πρῶτα ιβ' ἀναπαιστικοὶ δίμετροι, τὰ δὲ ἑξῆς ρκδ' χοριαμβικοὶ δίμετροι, ὧν τελευταῖος γυναικογήρυτον ὄλλυται κλεός. Dind. (In F. non legitur).

(329) νύξ. τὴν νύκτα ἐπικαλεῖται ὡς ἐν νυκτὶ τῆς πορθήσεως γενομένης F.

(330) τῶν μεγ. ἤγ. ἥτις τὰ κτέανα καὶ τὰ κτήματα καὶ τοὺς μεγάλους ἡμῖν παρέδωκας κόσμους τῶν Τρώων F.

(331) ἥτ'. ἥτις F. — ἔβ. ἐπέθηκας F.

(332) στ. πυκνόν, ἰσχυρόν F. — μέγ. ἤγ. ἄνδρα ἢ ἄρχοντα F.

μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ', ἐπ' Ἀλεξάνδρῳ
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.

Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν
πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι

---

(333) *νεαρ.* τῶν νέων F. — *ὑπ.* διελθεῖν, ἐκφυγεῖν F.

(335) *γάγγ.* δίκτυον Fl. F. V. — *ἄτ.* τῆς συμφορᾶς λέγει, ἥτις περιέσχε πάντας F.

[335] Poll. X, 132: τὰ δὲ ἁλιέως σκεύη — καὶ γάγγαμον· ἀφ' οὗ καὶ Αἰσχύλος τὸ δύςλυτον κακὸν ἢ δυςέλικτον ἔφη *γάγγαμον ἄτης παναλώτου*.

(336) *ξέν.* τὸν φίλιον F. — *αἰδ.* σέβομαι F.

(337) *πρ.* ἐπαγαγόντα F. — *Ἀλ.* παραβάντι τοὺς τῆς φιλίας νόμους F.

(338) *τείν.* ἐκτείνοντα F. — *τόξ.* ἤτοι τὴν τιμωρίαν. μεταφορικῶς F. V. τοῦτο ὅμοιόν ἐστι τῷ ἐν ψαλμοῖς (VII, 12) εἰρημένῳ· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό· καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. Ἐντείνει γὰρ ὁ Θεὸς τὸ τόξον αὐτοῦ, τουτέστι τὴν τιμωρίαν μεταφορικῶς, καὶ τὴν ῥομφαίαν αὐτοῦ στιλβώσας καὶ θήξας, οὐκ εὐθὺς ἐπιφέρει τὴν ἡμῶν μετάνοιαν ἐκδεχόμενος. μὴ ταῖτον (l. ταύτην) δὲ ὡς εἰκὸς ἐπιδειξαμένοις τά τε βέλη ἀφίησιν ἐφ' ἡμῖν καὶ ἣν πάλαι ῥομφαίαν ἐστίλβωσεν. F. (Ἡμ.)

(339) *καιρ.* τοῦ πρέποντος F.

(340) *ἠλ.* μάταιον F. — *σκ.* ἐπέλθοι F.

341. πλαγαν (η sup. utr. α scr.) F.

341. — Στρ. κῶλ. ιη' F. Ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαί· καί εἰσι τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιη', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς β' ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς τρίτης ὁμοίως ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς δὲ ἐπῳδοῦ ιε'. ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος· εἰσὶ γὰρ τὰ μὲν ἀντισπαστικά, τὰ δὲ τροχαϊκά, τὰ δὲ χοριαμβικά, τὰ δὲ ἰαμβικά. Ἐφ' ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς (l. ἐπὶ τῷ τέλει ἑκ. κτέ.) παράγραφος· ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος. F. (Ἡμ.).

(341) *ἔχουσιν.* τοῖς F. — *εἰπ.* τὰ συμβάντα F. ἤγ. ἐκ Διὸς ἐπείσθην F.

(342) *ἐξ.* ἀνερευνῆσαι F.

ὡς ἔπραξεν ὡς ἔκρανεν. Οὐκ ἔφα τὶς
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν,
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής·
πέφανται δ' ἐγγόνους
ἀτολμήτων Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπὲρ φεῦ
ὑπὲρ τὸ βέλτιστον. Ἔστω δ' ἀπήμαντον ὥςτε κἀπαρκεῖν

---

343. ἔφα (η supr.) F. — H. om. prius ὡς.

(343) ὡς· ὄντως F. — ἔπρ. ὁ Ζεὺς δηλονότι ταῦτα F. — ὡς. ὄντως F. — ἔκρ. ἐτέλεσεν F. — ἔφα τίς. εἶπε τίς F.

(344) ἀξ. οὐκ ἄξιον κρίνειν τοὺς θεούς F. — μέλ. φροντίδα ἔχειν τῶν ἀνθρώπων ἐκείνων F.

345. ὅσοις δ' ἀθίκτων F.

(345) ἀθ. τῶν ἱερῶν F. V.

(346) πατ. καταφρονεῖται F. — ὁ δ'. ὁ πατῶν τὰ ἱερά F.

347. δ' ἐγγόνους (κ scr. sup. prius γ) F. δ' ἐγγόνοις Voss.

(347) πέφ. φανεροὺς ποιοῦσι F. — δ'. γάρ F. — ἐγγ. ἀπογόνους F.

(348) ἀτ. τῶν ἱερῶν, εἰς ἃ οὐ τολμᾶν τί χρὴ ἀσεβές F. — Ἄρ. ἤτοι τῶν μαχομένων τοῖς ἱεροῖς F.

(349) πν. συνίζησις F. — μεῖζ. ἢ δικ. ἤτοι ἐπέκεινα τοῦ δικαίου, ἤγ. ὑπὲρ τὸ δίκαιον F.

(350) φλ. φλυαρούντων (F.)· συνίζησις Fl. — δωμ. κατά F. ἐνταῦθα τὸ ἀτολμήτων F. — ὑπ. διὰ μέσου· ἀντὶ τοῦ βαβαί F.

351. ὥςτ' ἀπαρκεῖν Fl. ὥςτε κἀπαρκεῖν F.

(351) ὑπ. ἤγ. πλέον τοῦ βελτίστου, τουτέστιν ἔξω τοῦ καλοῦ F. — (347—351): οἱ θεοί, φησί, πέφανται καὶ φανεροὺς ποιοῦσι τοὺς ἐκγόνους τῶν ἀσεβῶν τῶν πνεόντων Ἄρη μεῖζον (μείζω V.) ἢ δικαίως κατὰ τῶν δωμάτων τῶν ἀτολμήτων, ἤτοι τῶν (ἤγ. V.) ὑπὲρ τὸ δίκαιον μαχομένων τοῖς ἱεροῖς οἴκοις τῶν θεῶν (V.)· εἰς ἃ οὐ τολμᾶν τί χρὴ ἀσεβές· τῶν φλεόντων λέγω καὶ φλυαρούντων καὶ βλασφημούντων κατ' αὐτῶν. ὑπέρφευ, ὑπὲρ τὸ βέλτιστον, ἤτοι ἔξω τοῦ βελτίστου καὶ τοῦ καλοῦ καὶ προςήκοντος· οὐ γὰρ χρὴ βλασφημεῖν, ἀλλ' ὑμνεῖν τοὺς θεούς. τὸ ὑπέρφευ δὲ διὰ μέσου εἴρηται ἀντὶ τοῦ φεῦ βαβαί, ἐκπληττομένου οἷον τοῦ χοροῦ ἐπὶ τῇ ἀσεβείᾳ καὶ βλασφημίᾳ ἐκείνων. Πῶς δὲ φανεροὺς ποιοῦσιν αὐτούς; τιμωρούμενοι. τοὺς μὲν γὰρ παῖδας τῶν εὐσεβῶν ἀγαθοῖς ἀμείβονται, τοὺς δὲ τῶν ἀσεβῶν καὶ βλασφήμων τιμωρίαις ἀποβάλλουσι.

εὖ πραπίδων λαχόντα·
οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαλα Δίκας βωμὸν εἰς ἀφάνειαν.

Βιᾶται δ' ἁ τάλαινα πειθώ,
προβουλόπαις ἄφερτος ἄτας·
ἄκος δὲ παμμάταιον· οὐκ ἐκρύφθη,
πρέπει δέ, φῶς αἰνολαμπές, σίνος·
κακοῦ δὲ χαλκοῦ τρόπον
τρίβῳ τε καὶ προβολαῖς
μελαμπαγὴς πέλει
δικαιωθεὶς ἐπεὶ

κἀντεῦθεν ἐμφαίνουσιν ὡς ἀσεβῶν εἰσι παῖδες· διὸ καὶ τοιαῦτα πάσχουσιν. F. (Ἡμ.). — ἀπ. ἀβλαβῆ ἐμὲ F. — ἀπ. διατελεῖν F.

(352) πρ. φρονήσεως F.

(353) ἐπ. βοήθεια F.

(354) πλ. ἤγ. οὐκ ἔστι πρὸς κόρον πλουτεῖν τὸν ἄδικον F.

355. μεγάλα F. sup. scr. μεγάλως. Leg. λίαν. — δίκας (sup. η) F.

(355) ἐκλακτ. ἀνατρέψαντι F. — μεγάλα. ἀντὶ μιᾶς. F. (sup. scr. μέ) sec. Haupt μεγάλως). — δίκ. β. ἤγ. τὴν δίκην F. — εἰς ἀφ. ἤγ. ὥςτε ἀφανῆ γενέσθαι καὶ φθαρῆναι F.

356. — Ἀντ. κῶλ. ιη' F.

(356) βιᾶτ. βιάζει F. — τάλ. ἀθλία F.

357. ἄτας (sup. η) F.

(357) προβ. ἡ προβουλευομένη πλουτῆσαι τοὺς παῖδας F. — ἄφ. ἀφόρητος F. ἡ τῆς ἄτης πειθὼ ἄφερτος καὶ ἀφόρητος καὶ βαρεῖα ἐστίν· ἥτις βιάζει αὐτούς, πρόνοιαν δῆθεν τοῦ πλουτῆσαι (πλουτίσαι V.) τοὺς παῖδας ποιουμένη F. (Σχ. π.) V.

(358) ὡς ἄκ. ὥςπερ θεραπεία F. — παμμ. πάνυ μάταιον F. — οὐκ ἐκρ. ἀλλὰ δῆλον ἐγένετο F.

(359) δέ. γὰρ F. — αἰν. τὸ χαλεπῶς λάμπον F. — σίν. σέλας F. τοῦτ' ἔστι σέλας V. ἡ θεραπεία τῆς ἐπιθυμίας αὐτῶν διάδηλος γίνεται. ὡς φῶς δὲ πρέπει τὸ αἰνολαμπὲς αὐτῶν σέλας F. (Σχ. π.).

(360) κακ. ἤγ. τοῦ κακωθέντος καὶ ἀμαυρωθέντος ἐν τῇ ὁδῷ F.

361. προσβολαῖς Pears. St.

(361) τρ. ἐν F. ἤγ. ἐν ὁδῷ προβεβλημένου καὶ ἐρριμμένου F.

(362) πέλ. ὑπάρχει F.

(363) δικ. ἤγ. δικαίως τοῦτο παθὼν F.

διώκει παῖς πτανὸν ὄρνιν,
πόλει πρόςτριμμ' ἄφερτον ἐνθείς.
Λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν, τὸν δ' ἐπίστροφον τῶνδε
φῶτ' ἄδικον καθαιρεῖ.
Οἷος καὶ Πάρις· ἐλθὼν
ἐς δόμον τῶν 'Ατρειδᾶν
ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικός.

---

364. πτανὸν Fl. πτανόν (η sup.) τιν' F. ποτανὸν Pors. Schütz.

(364) δι. ἤγ. διώκων λαμβάνει F. — παῖς· τίς F. — πτ. ταχὺν. πτερωτόν F.

(365) πόλ. τῇ αὐτοῦ πατρίδι F. — πρ. κακίαν Fl. κακόν τι προςτριβὲν αὐτῇ F. — ἄφ. ἀφόρητον F. — ἐνθ. ἐπαγαγὼν F. — (358—365). ἤγ. ὥςπερ τὸ φῶς φανερόν ἐστι καὶ οὐ δύναται κρυβῆναι, οὕτω καὶ ἡ ματαία αὐτῶν θεραπεία δείκνυται. ἄκος δὲ εἶπεν, ἐπεὶ βουλόμενοι θεραπεῦσαι τὴν πρὸς μάχας καὶ πολέμους ὁρμὴν, φασὶν ὅπερ τοῖς παισὶ καταλείποιεν πλοῦτον. 'Αλλ' ὥςπερ κακὸς χαλκὸς ἐν ὁδῷ προβεβλημένος καὶ ἐρριμμένος μελαίνεται καὶ ἐξιοῦται καὶ τὸ κάλλος ἀπόλλυσιν, οὕτω κἀκεῖνος ὁ ταῦτα λέγων πέλει καὶ ὑπάρχει μελαμπαγὴς, ἤγ. μελαίνεται καὶ ἀμαυροῦται δικαιωθεὶς, ἤτοι δικαίως τοῦτο παθὼν, ἐν τρίβῳ καὶ ἐν προβολαῖς, ἤγ. προβεβλημένος καὶ ἐρριμμένος καὶ κείμενος ἐν τρίβοις καὶ ἄλλοις τόποις ὑπαιθρίοις, καὶ ταλαιπωρούμενος μέχρις ἂν τροπώσαιτο τοὺς ἐχθροὺς καὶ πλοῦτον ἐξ ἐκείνων πορίσαιτο. Ὥςπερ δὲ πόλεμός τις ἀνερριπίσθη ἐξ ἀφροσύνης παιδὸς καὶ μάχη συνεκροτήθη διὰ περιστερὰν ἢ πέρδικα καὶ ἱέρακα διώξαντος τοῦτον καὶ κατασχόντος, καὶ τῇ τούτου προςετρίβη πατρίδι κακόν τι ἀφόρητον, οὕτω καὶ 'Ιλίῳ συνέβη χαλεπόν τι κακὸν, ἐξ ἀφροσύνης τοῦ Πάριδος. Οὕτω δέον εἰπεῖν τὰς παραβολὰς, ὁ δὲ συνήθως καὶ ταύτας ἐξήνεγκεν δεινὸν ποιῶν τὸν λόγον καὶ ἀσαφῆ, ὄγκον ἐκ τούτου καὶ μέγεθος τούτῳ περιθεῖναι βουλόμενος· ἔθος γὰρ τοῦτο τοῖς ποιηταῖς, συγχεῖν τὴν φράσιν ἐν τοῖς χοροῖς ὥςτε δοκεῖν τὸν λόγον ἐκ πολλῶν στομάτων προέρχεσθαι. Οὗτος δὲ μάλιστα καὶ Πίνδαρος τοῦτο ποιεῖν εἰώθασι τῷ ἁδρῷ τόνῳ καὶ ὄγκον φέροντι χαίροντες. F. ('Ημ.)

(366) λιτ. τῶν εὐχῶν τοῦ τοιούτου ἀνδρός F. — οὔτ. οὐδείς F. — ἐπ. τὸν ἐπιστρεφόμενον εἰς τὰ τοιαῦτα F.

(367) φῶτ'. ἄνδρα F. — καθ. καταβάλλει F.

368. Leg. οἷα.

(368) οἷος. ὥςπερ ἦν δέον εἰπεῖν F.

369. Fl. V. εἰς οἶκον τὸν 'Ατρειδᾶν (ω sup.) F. ἐς δόμον τὸν 'Ατρειδᾶν C.

(369) 'Ατρ. τῶν F.

370. τὴν ξενίαν F.

Λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμούς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθοράν,
βέβακε ῥίμφα διὰ πυλᾶν, .
ἄτλητα τλᾶσα· πολλὰ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται.
Ἰὼ ἰὼ δῶμα, δῶμα καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες·
πάρεστι σιγᾶς ἄτιμος ἀλοίδορος
ἅδιστος ἀφεμένων ἰδεῖν·

---

(370) *ἤσχ.* κατήσχυνεν F. — *ξεν.* φιλικήν F. — *κλ.* ἁρπαγαῖς F. — *γυν.* τῆς Ἑλένης F.

371. —, Στρ. ἑτέρα κῶλ. ιζ' F.

(371) *λιπ.* ἡ Ἑλένη F. — *ἀστ.* τοῖς ἑαυτῆς πολίταις F. — *ἀσπ.* δι' ἀσπίδων καὶ ἄλλων ὅπλων γινομένους F.

(372) *κλ.* ταραχάς, μάχας F. — *λογχ.* διὰ λόγχης γινομένους F. — *ναυβ.* διὰ νηῶν γινομένους F. — *ὁπλ.* καθοπλισμούς F.

(373) *ἄγ.* ἴαμβος F. — *ἀντ.* ἤγ. ἀντὶ προικὸς φθορὰν καὶ ἀπώλειαν κομίσασα F. (V. habet κομίσασαν).

374. βέβακεν (η sup.) F. — πυλαν (ων sup.) F.

(374) *βέβ.* διῆλθε F. — *ῥίμφ.* εὐκόλως F. — *πυλ.* τῶν τῆς Τροίας F.

(375) *ἄτλ.* ἤγ. ἀτόλμητα F. — *τλ.* τολμήσασα F. — *ἔστ.* ἐθρήνουν οἱ προφῆται F.

(376) *τόδ'.* ἤγ. τὸ γεγονός F. — *ἐνν.* λέγοντες F. — *δόμ.* ἤγ. τῆς πόλεως F. — *πρ.* οἱ μάντεις F.

(377) *ἰὼ ἰώ.* ὦ ὦ F. — *πρ.* πρόμαχοι, ἄρχοντες F.

(378) *ἰὼ λέχ.* ὦ κοίτη F. — *στ.* ὁδοί, ἤγ. τρόποι, δι' ὧν ἐδείκνυτο ἡ πρὸς τὸν ἄνδρα φιλία F.

379. σιγας (η sup.) F. Leg. *ἀτίμως ἀλοιδόρως.*

(379) *παρ.* ἡ Ἑλένη F. ἰδεῖν αὐτήν F. — *ἄτ.* πολύτιμος Fl. F. — *ἀλ.* οὐ γὰρ λοιδοροῦμεν αὐτὴν οὕτως ἀπάρασαν F.

(380) *ἅδ.* ἡ F. γλυκεῖα F. — *ἀφ.* τῆς σιγῆς F. ἀφεμένων ἡμῶν τῆς σιγῆς, ὅ ἐστι καὶ ἀφισταμένων τοῦ σιγᾶν, τουτέστι (τοῦτ' ἔστι V.) καὶ παῤῥησιαζομένων καὶ φεγγομένων (φθεγγ. V.) τὶ διὰ τὸ μὴ παρεῖναι τὴν δέσποιναν, ὅμως τῇ παλαιᾷ αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν, καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἡδίστη καὶ πολύτιμος καὶ ἀλοίδορος, ἤγ. νομίζομεν ἔτι συνεῖναι ἡμῖν αὐτὴν καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπολαύειν. F. (Σχ. π.) V. — *ἰδ.* ὥστε αὐτήν τινά F.

πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν·
εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί,
ὀμμάτων δ' ἐν ἀχηνίαις ἔρρει πᾶσ' Ἀφροδίτα.

Ὀνειρόφαντοι δὲ πενθήμονες
πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν·
μάταν γάρ, εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾶν
παραλλάξασα διὰ χερῶν
βέβακεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.

---

(381) *πόθ.* τῷ φίλτρῳ τῷ πρὸς ἐκείνην F. — *ὑπ.* ἤγ. τῆς ὑπεράνω διελθούσης τοῦ πόντου F.

(382) *φάσμ.* τὸ τῆς Ἑλένης F. — *δόξ.* τῷ ἀνδρὶ αὐτῆς F. — *ἀν.* ἄρχειν, ἤγ. συνεῖναι αὐτῷ F.

(383) *κολ.* ἤγ. τῶν ἀγαλμάτων, τουτέστι τῶν εὐειδῶν γυναικῶν F.

(384) *ἔχθ.* μισεῖται F. — *τἀνδρί.* ἔχων γὰρ ταύτην οὐκ οἶδεν ὅσον κέκτηται ἀγαθόν F.

385. *Ἀφροδίτα* (η sup.) F.

(385) *ὀμμ.* ἤγ. μὴ ὁρωμένης ἐκείνης F. — *ἀχ.* ἀπορίαις. ἐκ τοῦ ἀχὴν ὁ πτωχὸς, ὁ μὴ ἔχων δηλονότι F. — *ἔρρ.* ἐφθάρη F. — *ἀφρ.* τέρψις· ἐκ τοῦ ὁρᾶν γὰρ ὁ ἔρως F.

386. — *Ἀντ. κῶλ. ιζ'* F.

(386) *ὀν.* ἐν ὀνείροις φαινόμεναι F. — *πενθ.* ἤγ. λυπηραί, πένθους αἴτιαι F.

387. *πάρεισι δόξαι* Fl. *πάρεισιν δόκαι* H.

(387) *δόξ.* φαντασίαι F. — *χάρ. ματ.* δοκῶν γὰρ ὁρᾶν αὐτὴν ἐν ὕπνοις ἥδεται κενὴν ἡδονήν F.

388. *ματαν* (η sup.) F. Leg. *ματ. γ. εὖκτ' ἄν—*.

(388) *μάτ.* ἤγ. μάταιόν ἐστιν F. — *εὖτ'.* ὁπηνίκα F. — *ἐσθλ.* ἀγαθά F. — *τις δοκ.* ἤγ. τινὸς δοκοῦντος F. Adscr. ἴαμβος.

(389) *παρ.* διελθοῦσα ἡ ὄψις F. — *διὰ χερ.* ἤγ. διὰ μέσων τῶν χειρῶν. δοκεῖ γὰρ ἄντικρυς κρατεῖν αὐτήν F.

390. *βίβακεν* (η sup.) F.

(390) *βέβ.* ἀπέπτη F. — *ὄψ.* ἡ φαντασία F. — *οὐ μεθ.* ἀλλὰ παραχρῆμα F.

(391) *πτ.* ἐν F. — *ὀπ.* ἀκολούθοις F. — *ὕπν. κελ.* τῇ ὁδῷ τοῦ

Τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα·
τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις
πένθεια τλησικάρδιος
δόμων ἑκάστου πρέπει.
Πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γὰρ ἔπεμψεν

ὕπνου. συναφίπταται γὰρ τῷ ὕπνῳ ἡ ὄψις F. — (388—391) μάταιον γάρ ἐστι, φησίν, εὖτ' ἂν καὶ ὁπηνίκα δοκοῦντος τινὸς ὁρᾶν ἐν ὕπνοις ἀγαθὰ καὶ μονονουχὶ ταῖς χερσὶ κατέχειν αὐτά, ἡ ὄψις καὶ ἡ φαντασία ἐκείνη παραχρῆμα βέβηκε καὶ ἀπέπτη παραλλάξασα διὰ τῶν χειρῶν, ἤγ. διελθοῦσα διαμέσον τῶν χειρῶν, ἐν πτεροῖς ὀπαδοῖς καὶ ἀκολούθοις τοῖς κελεύθοις τοῦ ὕπνου, τουτέστιν ἀκολουθήσασα τῇ ὁδῷ τοῦ ὕπνου, ἤγ. σὺν τῷ ὕπνῳ καὶ αὐτὴ ἀποπτᾶσα. Δέον δὲ οὕτως ἐπαγαγεῖν τὴν ἀπόδοσιν· εὖτ' ἂν δοκοῦντος τινὸς ὁρᾷν τι τόδε γένηται, ὁ δὲ δοκῶν εἰπὼν καὶ καινὸν ποιησάμενος τὸ προοίμιον τοῦ νοήματος, καινοτέραν ἐπιφέρει καὶ τὴν ἀπόδοσιν. F. (Ἡμ.)

(392) τὰ μέν. ἤγ. τὰ μὲν κατὰ τοὺς οἴκους τῆς Ἑλένης F. — ἑστ. ἤτοι τοῦ θαλάμου F. — ἄχ. αἱ λῦπαι F. τὸ κατ' οἴκους καὶ ἐφ' ἑστίας ἢ ἐκ παραλλήλου εἴρηται, ἢ τὸ μὲν οἴκους νοήσεις διὰ τοὺς ἐν τῷ οἴκῳ θεράποντας καὶ θεραπαινίδας. εἰκὸς γὰρ ἦν θρηνεῖν κἀκείνους τὴν τῆς δεσποίνης ἀπουσίαν· τὸ δὲ ἐφ' ἑστίας διὰ τὸν ἄνδρα αὐτῆς, ἴσως δὲ καὶ διὰ τοὺς παῖδας. ἑστία γάρ ἐστιν ὁ θάλαμος τῶν συζύγων. εἰκὸς γὰρ ἦν τοῦτον ἀεὶ θρηνεῖν, ἔρημον τῆς συνεύνου τὴν ἑστίαν καὶ τὴν κλίνην ὁρῶντα F. (Ἡμ.).

(393) ὑπ. ἤγ. μείζονα F.

394. Ἕλλανος H.

(394) τὸ πᾶν. ἤγ. καθόλου δέ F. — αἴας. γῆς F. — συν. τοῖς συνορμηθεῖσι F. τῶν συνηγμένων ἀπὸ τῆς Ἑλλάδος ἁπάντων ἑκάστου τοῖς οἴκοις ὀδυνηρὰ πένθησις διαπρέπει F. (Σχ. π.) V.

395. Leg. ταλασικάρδιος.

(395) πένθ. ἤγ. πένθησις, θλῖψις (l. θλῖψ.) F. — τλ. τὴν καρδίαν τήκουσα F. (legit τηξικάρδιος. Cf. Schol. ad vs. 103).

(396) δόμ. τῶν οἴκων F. — πρ. ἁρμοδίως ἐστὶν F.

397. ἧπαρ F.

(397) πολλ. πολλὰ γάρ ἐστι τὰ λυποῦντα τὴν καρδίαν τῶν ἐν τοῖς οἴκοις αὐτῶν (l. ὄντων) F.

398. οὓς μὲν ἔπεμψεν (γὰρ post μὲν eadem manu insertum) Fl. οὓς μὲν γὰρ πεμψεν F. Leg. οὓς γὰρ πρὶν ἔπ.

οἶδεν, ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται.

Ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βαρὺ [*θέτου.*
ψῆγμα δυςδάκρυτον, ἀντήνορος σποδοῦ γεμίζων λέβητας εὐ-

---

(398) *πεμψεν. ὁ δόμος* F.

399. *βροτῶν* F.

(399) *βρ. ἤγ. ἀνδρῶν.*

400. *εἰςἀφικνεῖται* F. V. C.

(400) *τεύχ. σκεύη τὴν σποδὸν ἔχοντα. δύναται δὲ καὶ ὅπλα δηλοῦν* F. — *σπ. κόνις τῶν σωμάτων τῶν νεκρῶν* F. — *τοὺς δόμ. τοὺς οἴκους* F. — *εἰςαφ. εἰςέρχεται ὑπονοστοῦσα.* F.

401. — *Στρ. ἑτέρα* (*ἑτέρων* V.) *κῶλ. ιζ'.* F. (*Ἡμ.*) V.

(401) *ὁ χρ. ὁ χρυσὸν διδοὺς ἀντὶ σωμάτων. λάφυρα γὰρ εἰς τοὺς οἴκους τῶν ἀποθανόντων κομίζουσιν* F. *χρυσαμοιβὸς ὁ καὶ ἀργυραμοιβὸς παρὰ τοῖς ῥήτορσι. τῆς αὐτῆς δ' ἀναλογίας ἐστὶ καὶ ὁ ἀλφιταμοιβός. εἴληπται δὲ τὸ νόημα τῷ Αἰσχύλῳ ἐκ τῆς κατὰ τὸν Δία Ὁμηρικῆς ζυγοστατήσεως. τὸ βαρὺ* (vs. 404) *δὲ εἴρηται διὰ τὸ βαρύνειν τοὺς φίλους. ἄλλως μέντοι κατὰ τὴν ἀλληγορικὴν τροπὴν βαρὺ διὰ τὸ χρυσοῦν εἶναι.* F. (*Σχ. π.*) *Εἰώθασιν οἱ περιλειφθέντες ἐν τοῖς στρατεύμασι κομίζειν εἰς τοὺς οἴκους τῶν ἀπολωλότων ὅσαπερ ἔτι ζῶντες ἐκτήσαντο λάφυρα· πρὸς δὲ καὶ τὴν κόνιν τῶν σωμάτων αὐτῶν ἐν ἀγγείοις. Τοῦτο οὖν ἐνταῦθα φησὶν ἀλληγορικῶς. ἐπεὶ δὲ ὁ χρυσὸς ἐκ ψηγμάτων ἐκπυρωθέντων συνάγεται καὶ βάρος ἔχει καὶ ζυγοστατεῖται, ὅρα πῶς καὶ οὗτος τὴν τροπὴν διόλου τηρήσας ἐξήνεγκε τὸ νόημα.* F. (*Ἡμ.*). In F. adscr. *σημείωσαι ἀλληγορίαν τροπικήν.*

(402) *ταλ. ὁ ζυγοστάτης* F.

(403) *πυρ. καυστικὸς γὰρ ὁ πόλεμος* F.

(404) *φίλ. ἤγ. τοῖς οἴκοις τῶν ἀπολωλότων κατὰ τὸν πόλεμον* F. — *βαρ. διὰ τὸν θάνατον τοῦ οἰκείου αὐτῶν* F.

405. *δυςδάκρυτον ἀντήνορος.* | Fl. *δυςδάκρυτον. ἀντήνορος* | F. *ψ. δ. Ἀντήνορος.* | V. *ψ. δυςδάκρυτον* | *Ἀντήνορος σποδοῦ* | C. — *γεμίξων* Fl.

(405) *ψῆγμ. ἤγ. χρυσοῦ ψήγματα, τουτέστι χρυσόν* F. — *ἀντ. τῆς ἀντὶ τῶν ἀνδρῶν πεμπομένης* F. — *σπ. κόνεως* F. — *γεμ. πληρῶν* F. — *τοὺς λέβ. τὰ ἀγγεῖα καταχρηστικῶς* F. In F. ad *σπ. γ. τοὺς λέβ. εὐθέτου* adscr. *ἴαμβος.*

Στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν ὡς μάχης ἴδρις,
τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ' ἀλλοτρίας διαὶ γυναικός.
Τάδε σῖγά τις βαΰζει·
φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
προδίκοις Ἀτρείδαις.
Οἳ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐχθρὰ δ' ἔχοντας ἔκρυψεν.

Βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ·

---

(406) στ. στενάζουσι, θρηνοῦσιν οἱ φίλοι τῶν ὀλωλότων, ἐπαινοῦντες ἐκείνους F. — ὡς· ὅτι F. — ἴδρ. ἐπιστήμων, ἔμπειρος ἦν F.

407. Leg. τὸν ἐν. — γε διὰ F.

(407) ἐν φον. ἐν ἀλληλοφονείαις (sic) F. — γε διά. ἀντὶ μιᾶς F. — διά. ἡγ. ἕνεκα F. — γυν. τῆς Ἑλένης F. Adscr. in marg. ad 4 vss. στ.-δρα-τὸν-λοτρ. ὅ-μ-οι-α.

[407] Cramer. *Anecd. Ox.* I p. 119, 13: διὰ παρ' Ἀττικοῖς προςλαμβάνει τὸ ἰῶτα καὶ γίνεται διαὶ καὶ συντάσσεται τῇ γενικῇ καὶ ἰσοδυναμεῖ τῷ ἕνεκα —· καὶ ἐν Ἀγαμέμνονι· ἀλλοτρίας διαὶ γυναικός· ἀντὶ τοῦ ἕνεκα.

408. τίς βαΰζει Fl. (corr. ex τί β.) τὶς βαΰζει F.

(408) τάδε. ὅτι δι' ἀλλοτρίαν ἀπώλετο (ἀπώλλυτο V.) γυναῖκα F. V. — σῖγ. σιωπηλῶς F. — βαΰζ. βοᾷ μετ' ὀργῆς δίκην κυνός F. V.

(409) φθ. λυπούμενοι γὰρ ἴσως φθονοῦσιν αὐτοῖς καὶ ἐπαρῶνται F. — ἄλγ. ἤτοι μέμψις F. — ἕρπ. ὑφέρπει καὶ κρυφίως ἐπέρχεται F.

(410) προδ. τοῖς δικαίοις, ἤτοι τοῖς δικαίως κατὰ τῶν ἐχθρῶν ἐστρατευκόσιν F. Adscr. in marg. ad 3 vss. τάδε-φθ.-προδ. ὅ-μοι-α.

411. οἱ δ' Fl. οἳ δ' F.

(411) οἳ δ'. τινὲς τῶν ὀλωλότων F. — τεῖχ. ὃ ἐποίησαν ἐν τῇ Τροίᾳ. βέλτιον δὲ αὐτῆς τῆς Τροίας τὸ τεῖχος εἰπεῖν· τὸ δὲ εὔμορφοι πρὸς πλείονα οἶκτον προςέθηκεν F. (Σχ. π.) V.

412. γας (η sup.) F.

(412) θήκ. τάφους F.

413. ἐχθρῶς F.

(413.) εὔμ. ὄντες. ἔτι ζῶντες δηλονότι F. — κατ. οἰκοῦσιν F. — ἐχθρῶς. ἐχθρωδῶς διακειμένους περὶ αὐτήν F.

414. — Ἀντ. κῶλ. ιζ' F. V.

(414) βαρ. ἐπαχθής ἐστι F. — ἀστ. τῶν πολιτῶν F. — φάτ. ἡ φήμη F. — σὺν κότ. μετ' ὀργῆς γινομένη F.

δημοκράτου δ' ἀρᾶς τίνει χρέος.
Μένει δ' ἀκοῦσαι τί μου
μέριμνα νυκτηρεφές· [νὺξ χρόνῳ
τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοί· κελαιναὶ δ' Ἐριν-
τυχηρὸν ὄντ' ἄνευ δίκας παλιντυχῆ τριβᾷ βίου
τιθεῖσ' ἀμαυρόν, ἐν δ' ἀΐστοις τελέθοντος οὔτις ἀλκά.
Τὸ δ' ὑπερκότως κλύειν εὖ
βαρύ· βάλλεται γὰρ ὄσσοις
Διόθεν κεραυνός.

---

415. δημοκράντου Pors.

(415) δημ. τῆς δημοσίας F. — τίν. δίδωσι F. ἤγ. ὀργίλως ὑπὸ τῶν πολιτῶν σκώπτεται ὁ Ἀγαμέμνων, καὶ ἀποδίδωσι τι χρέος τῆς δημοσίας κατάρας F. (Σχ. π.)

(416) μέν. ἀναμένει F.

(417) μέρ. ἡ φροντίς F. — νυκτ. ἀφανῶς ἐπελθόν F.

(418) τῶν. πολ. τῶν ὑπὸ πολλῶν κτανθέντων F. — ἄσκ. ἀπρόοπτοι, ἀλλ' ἐπισκοπῆς αὐτοὺς ἀξιοῦσιν F. — θεοί· οἱ F. — κελ. αἱ μέλαιναι, αἱ ἀφανεῖς F. — χρ. ἐν F. διὰ χρόνου F. Adscr. ad θεοί· κελ. δ' οὖν Ἐρ. χρ. ἴαμβος.

419. δίκας (η sup.) F. — παλιντυχῆ F. παλιντυχεῖ Scal.

(419) τυχ. τὸν εὐτυχῆ ἄνευ δίκης, ἤτοι τὸν ἀδίκως εὐτυχήσαντα, ὡς τὸν Πάριν F. — παλ. ἐναντίᾳ, δυςτυχεῖ. F. — τρ. διατριβῇ, ἐκτάσει F.

420. ἀλκα (η sup.) F.

(420) τιθ. ποιοῦσιν F. — ἀμ. ἀφανῆ F. — ἀΐστ. ἀφανέσιν· ἤγ. ἀμαυρωθέντος καὶ ἀφανισθέντος F. — τελ. ὑπάρχοντος ἐκείνου F. — οὔτ. ἐστί F. — ἀλκ. βοήθεια. ἤγ. οὐδεὶς τοῖς τοιούτοις βοηθεῖ F. τὸν τυχηρὸν ὄντα φησὶν ἄνευ δίκης, ἤτοι τὸν ἀδίκως εὐτυχήσαντα, οἷος ἦν ὁ Πάρις, διὰ χρόνου αἱ Ἐριννύες ἀμαυροῦσι καὶ ἀφανίζουσιν ἐν παλιντυχῇ (l. παλιντυχεῖ) τριβῇ βίου, ἤγ. ἐν ἐναντίᾳ καὶ δυςτυχεῖ ζωῇ. ἐν τοῖς ἀΐστοις δὲ καὶ ἀφανέσι τελέθοντος καὶ ὑπάρχοντος, ἤγ. μετὰ τῶν ἀφανῶν ταχθέντος, τουτέστιν ἀμαυρωθέντος καὶ ἀφανισθέντος οὐδεὶς βοηθὸς ἐπιφαίνεται αὐτοῦ. ὁ γὰρ ὑπὲρ τὸ μέτρον εὐτυχῶν σφάλλεται. F. (Ἡμ.)

(421) δ'. γάρ F. — ὑπ. ἤγ. τὸ λίαν ἁπλῶς (cf. 299, 523) F. — κλ. ἀκούειν F. — εὖ· καλῶς F. Adscr. γνώμη.

(422) βαρ. αἱ γὰρ εἰς ἄκρον εὐεξίαι σφαλεραί F. — ὄσσ. τοῦ Διός F.

(423) διόθ. ἤγ. ἄνωθεν F. — κερ. ἐφορῶντες οἱ τοῦ Διὸς ὀφθαλμοὶ τὴν τιμωρίαν ἐκπέμπουσιν F. In F. adscr. ad 4 vss. τυχ. — παλιντυχῆ-τελ. — διόθ. in marg. δ-μ-οι-α.

Κρίνω δ' ἄφθονον ὄλβον,
μήτ' εἴην πτολιπόρθης
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι.

Πυρὸς δ' ὑπ' εὐαγγέλου
πόλιν διήκει θοὰ
βάξις· εἰ δ' ἐτητύμως
τίς οἶδεν; ἤτοι θεῖόν ἐστιν μὴ ψύθος.
Τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
φλογὸς παραγγέλμασιν
νέοις πυρωθέντα καρδίαν, ἔπειτ'
ἀλλαγᾷ λόγου καμεῖν;

---

(424) κρ. λογίζομαι F. — ἄφθ. πολὺν F. — ὄλβ. εὐδαιμονίαν. τοῦτο δηλονότι, ὃ μέλλει ἐρεῖν F.

(426) αὐτ. ἐγὼ F. — ἁλ. κρατηθεὶς F. — βίον. ζωὴν F. ἤγ. μήτ' αὐτὸς ἄλλων πόλιν πορθήσαιμι, μήτε κατίδοιμι βίον καὶ ζωὴν ὑπ' ἄλλων ἁλοὺς καὶ κρατηθείς, τουτέστι μὴ δουλικὴν κατίδοιμι ζωὴν κρατηθεὶς ὑφ' ἑτέρων. F. (Ἡμ.)

427. — Ἐπῳδὸς κῶλ. ιε' F. V.

(427) εὐαγγ. ἀγαθὰ μηνύοντος ἀγγέλου F.

(428) διήκ. διέρχεται F. — θοά. ταχεῖα F.

429. τὴν πόλιν F. V. C. — θοα (η sup.) F.

(429) βάξ. φήμη τοῦ πυρός F. — ἐτ. ἀληθῶς F.

430. ἤτοι θεῖον ἐστὶ, μὴ F. θεῖόν ἐστιν ἢ St.

(430) θεῖον. ἐκ θεοῦ F. — ἐστ. τοῦτο F. — ψύθ. ἤτοι ψεῦδος Fl. F. τὸ ψύθος σύστοιχον τῷ ψεύδει, ὡς καὶ τὸ ψυδρόν· ὅτι δὲ συγγενῆ τὸ δ καὶ τὸ θ, δῆλον. προϋπόκειται δὲ τὸ ψεῦδος F. (Σχ. π.) V. In F. ad h. et sq. vs. adscr. ἴαμβοι.

431. παιδνὸς (ἑ sup. α) F.

(431) ὧδε· οὕτως F. — παιδν. ἤγ. ψεαιδνὸς (l. ψαιδνὸς) ἀφαιρέσει τοῦ σ διὰ τὸ μέτρον. ὅ ἐστι ψιλὸς τὸν νοῦν F. — φρ. κεκ. ἤγ. παράφρων F.

432. παραγγέλμασιν F.

(432) φλ. ὥςτε F. — παρ. μηνύμασι F.

(433) πυρ. ἤγ. τερφθέντα ἐκεῖνον F. — καρδ. τὴν F.

434. ἀλλαγᾷ (η sup.) F. — λόγους καμεῖν ἐν Fl. V. C. λόγου καμεῖν. ἐν F.

(434) ἀλλ. ἤγ. ἐναλλαγὴν λαβόντος τοῦ λόγου, τουτέστι ψευδοῦς φανέντος F. — καμ. ἤτοι λυπηθῆναι F. οἱ ἀγαθόν τι ἐλπίσαντες, εἶτα τούτου ἀποτυχόντες, διπλασίᾳ περιπίπτουσιν ἀθυμίᾳ κατὰ Μένανδρον F. (Σχ. π.).

'Εν γυναικὸς αἰχμᾷ πρέπει
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι·
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος· ἀλλὰ ταχύμορον
γυναικογήρυτον ὄλλυται κλέος.
Κλ. Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
εἴτ' οὖν ἀληθεῖς, εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.

---

435. ἐν del. Pors. — αἰχμᾳ (η sup.) F.

(435) ἐν γυν. ἤτοι τῇ Κλυταιμνήστρᾳ πρέπει F. — αἰχμ. ξίφει F. ἴσως τὴν κερκίδα ἢ τὸν ἄτρακτον λέγει γυναικὸς αἰχμήν. εἰ μή που σκόπτει (l. σκώπτει) τὴν Κλυταιμνήστραν διὰ τὰ ἱστορούμενα κατ' αὐτῆς, τὸν πέλεκυν λέγων, δι' οὗ καθεῖλε τὸν 'Αγαμέμνονα F. (Σχ. π.). — πρ. ἁρμόζει F.

(436) φαν. ἀγαθοῦ F. — χάρ. ξυν. ἐπαινέσαι χάριν, ἤγ. εὐφρανθῆναι F.

(437) πιθ. εὔπειστος F. — ἄγ. λίαν F. — ὁ θῆλ. ὅρ. ἤγ. αἱ γυναῖκες περιφραστικῶς F. ὁ θῆλ. ὅρος. ἤγ. περιφρ. ἡ γυνή, ὡς ταὐτὸν ὂν γυναῖκα εἰπεῖν καὶ ὅρον αὐτῆς ἐκθεῖναι F. (Σχ. π.) V. — ἐπιν. διατελεῖ F. In F. adscr. γνώμη.

(438) ταχ. εὐμετάβολος F. — ταχ. ταχέως φθειρόμενον F.

(429) γυν. τὸ. F. ἤγ. τὸ λεγόμενον ὑπὸ τῶν γυναικῶν. F. — ὄλλ. φθείρεται F. τὸ φημιζόμενον ἀγαθὸν ὑπὸ τῶν γυναικῶν ανύπαρκτόν ἐστι καὶ ταχέως φθειρόμενον καὶ οὐκ ἐπὶ πολὺ διαμένον. F. (Σχ. π.) V. (cum lemm. γυναικοκήρυκτον).

440. Del. Κλ.

440. — Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρϛβ', ὧν τελευταῖος τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύειν. 'Επὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει πάντων κορωνὶς εἰςιόντος τοῦ χοροῦ F. ('Ημ.). Εἴσθεσις διπλῆς μονοστροφικῆς· στίχοι ρϛβ', ὧν τελευταῖος τοσαῦτ' — κλύων. Dind. (aliunde, non ex F.).

(440) εἰσ. γνωσόμεθα F. — φαεσφ. ἀντὶ τὸ (l. τοῦ) φῶς φερουσῶν F.

(441) παρ. τὰς διαδοχάς F.

(442) ἀλ. εἰσὶν F. — ὀν. ἀπατηλὰ γὰρ τὰ ὀνείρατα F.

(443) τερπν. εὔφραντον F. — ἐφ. ἠπάτησε (Fl.). φηλῶ γὰρ ἀπατῶ F. ἐφήλωσεν, ἠπάτησεν, παρὰ τὸν φήληκα, ὅς ἐστι σῦκον διαχάσκον πρὸ τοῦ πεπανθῆναι. ἀσύνηθες δὲ τὸ φηλῶ φηλώσω, οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι (Alex. 785)· τὸ δὲ κοινὸν φηλήσω, ἐξ οὗ καὶ ὁ φηλήτης

Κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτε σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός·
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων —
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
Χο. *Ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,*
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

Κη. *Ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός,*
δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,

ἐν δυσὶν ῆ. ὁ δέ γε παρ' Ἡσιόδῳ (Opp. 373) *φιλήτης διὰ τοῦ ῑ ἔχει τὴν ἄρχουσαν, κατὰ τοὺς παλαιοὺς σημαίνων τὸν κλέπτην, ὡς ἀπὸ τοῦ ὑφελέσθαι.* F. (*Σχ. π.*)

(444) *κατ. ἐστεμμένον* F.

(445) *κάσ. ἀδελφή* F.

(446) *ξύν. ἡ συνακολουθοῦσα αὐτῷ* F. — *διψ. ἤτοι ξηρά* F.

(447) *ὡς. ὅτι* F. — *ἄν. ἄφωνος κατὰ τοὺς φρυκτούς* F. — *δαίων· καίων* F. — *φλ. πυρσόν* F.

(448) *ὀρ. ὀρεινῆς* F. — *σημ. δηλώσει* F. — *καπν. ἐν* F.

449. *ἐκβάξει* F. (corr. ex *ἐκβάζει*).

(449) *μᾶλλ. πλέον* F. — *ἐκβ. ἐξείποι* F.

(450) *τόν. ἀντ. τὸν ἐναντίον τοῦ χαίρειν, ἤγ. τὸν λυπηρόν* F. — *ἀπ. ἀποβάλλομαι* F.

(451) *πρ. ἀγαθοῦ δηλονότι* F. — *πέλ. ὑπάρχει* (l. *ὑπάρχοι*) *ἄν* F. — (451 sq.) *ὅρα τὴν σύνταξιν· ἢ γὰρ εἰπὼν καὶ δέον ἕτερον ἢ ἐπαγαγεῖν, ἀφεὶς τοῦτο καινότερον τὸν λόγον ἐποίησε σχηματίσας ἑτέρως. τὸ δὲ ἑξῆς τοῦτο βούλεται, τὸ πρὸς τοῖς φανεῖσι καλῶς ἕτερον φανὲν ἀγαθὸν προσθήκη καλοῦ τυγχάνοι ἄν.* F. (*Ἡμ.*)

(452) *ἀλλ'. καὶ οὐχ ὡς σὺ εἴρηκας* F. Del. *Χο.*

(453) *καρπ. καρπώσαιτο, κτήσαιτο* F.

(454) *ἰώ. ὦ* F. — *οὖδ. ἔδαφος* F. *τινὲς μέμφονται τῷ ποιητῇ ὅτι αὐθημερὸν ἐκ Τροίας* (*ἐκ Τρ.* om. V.) *ποιεῖ τοὺς Ἕλληνας ἥκοντας.* F. (*Σχ. π.*) V.

(455) *σε· εἰς σέ* F. — *φέγγ. ἡμέρᾳ* F. — *ἀφ. ἦλθον* F.

πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών·
οὐ γάρ ποτ' ηὔχουν τῆδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
Νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος
ὕπατός τε χώρας Ζεύς, ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦλθ' ἀνάρσιος.
Νῦν δ' αὖτε σωτὴρ ἴσθι καὶ παγώνιος,
ἄναξ Ἄπολλον· τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
Ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
ἦ που πάλαι φαιδροῖσι τοισίδ' ὄμμασιν

---

(456) ῥαγ. ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν· ὧν πολλῶν ῥαγεισῶν εἰς τὸ ὕδωρ, μία τὶς περισώζει τὴν ναῦν F. (Σχ. π.) V.

457. ηὔχων F.

(457) ηὐχ. ἐθάῤῥουν F.

(461) τόξ. ἐν F. — ἰάπτ. πέμπων F.

462. ἦλθες F. ἦλθ' (ες sup. θ) Fl.

(462) παρὰ Σκ. ἤτοι κατὰ τὴν Τροίαν F. — ἦλθ. ἡμῖν F. — ἀν. ἀναιρετός F.

463. Fl. κἀπαγώνιος F. κἀπαγώνιος V. C. καὶ παιώνιος Dobr.

(463) ἴσθ. ὕπαρχε F. — κἀπ. ἀπόμαχος Fl. F. V.

(464) ἄν. ὦ F. — ἀγ. τοὺς ἅμα ἐνὶ τόπῳ ἱδρυμένους Fl. τοὺς ἐφόρους τῶν ἀγώνων F.

(465) προς. ἐπικαλοῦμαι F. — τιμ. βοηθὸν Fl. F. V.

(466) σέβ. ἤγ. ὃν τιμῶσιν οἱ κήρυκες F.

(467) ἥρ. ἥρωας F. — εὐμ. ἤγ. εὐμενῶς F.

(468) δέχ. ὥςτε F. — τὸν λελ. τὸν ὑπολειφθέντα τοῦ πολέμου F.

(469) ἰώ. ὦ F. — μέλ. οἰκήματα F. — φίλ. προςφιλεῖς F.

(470) θᾶκ. θρόνοι F. — ἀντ. οἱ εἰς ἀνατολὴν ὁρῶντες Fl. F. V.

471. εἴ που Aur. — τοῖσιν ὄμμασιν F.

(471) ἦ που. ὄντως, ἴσως F.

δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ·
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
Ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον·
βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
Τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις

---

472. *δέξαισθε* F.

(472) *δέξ. ἂν* F. — *κόσμ. ἐν* F. — *πολλ. διὰ πολλοῦ χρόνου* F.

473. *ἡμῖν* Fl. *ὑμῖν* F.

(473) *εὐφρ. νυκτί* F.

(475) *νιν. αὐτόν* F. — *ἀσπ. προςείπατε* F. — *πρ. ἁρμόζει* F.

(476) *κατ. πορθήσαντα* F. — *δικ. τοῦ τὴν δίκην φέροντος* F.

(477) *μακ. ἤτοι τῇ σπάθῃ* F. *σπάθῃ* Fl. V. *Διὸς μακ. ἤτοι σπάθῃ· μάκελλα δὲ λέγεται κυρίως ἡ τζάπη ἀπὸ τοῦ μονόκελλος εἶναι, ὡς δίκελλα ἡ δύο ἔχουσα σκέλη. δοκεῖ γάρ μοι ἀπὸ τοῦ σκέλους ἔχειν τὴν σύνθεσιν, διπλασιαζομένου τοῦ λ διὰ τὸ μέτρον.* F. (*Ἡμ.*) — *τῇ. ἥτινι* F. — *κατ. κατέσκαψε* F. — *πέδ. τό* F. *τὴν γῆν* F.

[477] Arist. *Av.* 1237. *Ἶρις. ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας*
δεινάς, ὅπως μή σου γένος πανώλεθρον
(cf. Ag. 486 sq.)
Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη.

(478) *ἄϊστ. ἀφανεῖς* F. — *ἱδρ. ἀγάλματα ἢ ναοί* F.

(479) *σπ. ἢ τὰ γεννήματα, ἢ καὶ οἱ ἄνθρωποι* F. — *ἐξ. ἐφθάρη* F. — *χθ. γῆς* F.

(480) *τοιόνδε. τοιοῦτον* F. — *Τρ. τῇ* F. — *περ. περιθείς* F. — *ζευκτ. ἤτοι ζυγόν* F.

(481) *πρ. ὁ* F. *ἥγ. ὁ Ἀγαμέμνων* F. — *εὐδ. εὐτυχής* F.

(482) *ἥκ. ἔρχεται* F. — *τίεσθ. τιμᾶσθαι* F. — *ἀξ. λίαν ἄξιος* F.

(483) *Πάρ. οὔτε γὰρ ὁ* F. *ἀπὸ κοινοῦ τὸ οὔτε ληπτέον καὶ εἰς τὸ Πάρις· συνυπακούεται γὰρ ἐκ τοῦ ἐπαγομένου· τὸ δὲ τὸ δρᾶμα τοῦ πάθους πλέον τοῦτο δηλοῖ, ὡς οὐ πλέον δέδρακεν ἢ πέπονθεν* F. (*Σχ. π.*) V. — *συντ. ἡ συντελέσασα καὶ συμπράξασα αὐτῷ* F.

ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
Ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην,
τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον·
διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.
Χο. Κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.
Κη. Χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.
Χο. Ἔρως πατρῴας τῆςδε γῆς σ' ἐγύμνασεν;
Κη. Ὥςτ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.
Χο. Τερπνῆς ἄρ' ἦτε τῆςδ' ἐπήβολοι νόσου;
Κη. Πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου;
Χο. Τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος.
Κη. Ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.

---

(484) ἐξ. καυχᾶται F. — τὸ δρ. ἤγ. ὅτι πλέον ἔδρασεν ἢ πέπονθεν F.

(485) ὀφλ. χρεωστῶν F. — δίκ. τιμωρίαν F.

(486) τοῦ ῥυσ. ἤγ. τοῦ ῥύσασθαι τοὺς Τρῶας Fl. F. V. — ἥμ. ἀπέτυχεν F.

(487) ἔθρ. ἐθέρισεν (Fl), ἀπέκειρεν F. ἐθέρισεν, ἔκειρεν· κοινῶς δὲ ἔθριξεν, ὤφειλεν (ἀφεῖλεν V.)· ἀφ' οὗ καὶ ἡ θρίξ· ὡς (om. V.) καὶ Εὐριπίδης· ἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας (Or. 128). F. (Σχ. π.) V.

(488) διπλ. ἤγ. αὐτοὶ καὶ ἡ πόλις F. — ἔτ. ἀπέδωκαν F. — Πρ. οἱ F. — θάμ. τὰ ἁμαρτήματα F. τὸν μισθὸν τῆς ἁμαρτίας F. Fl. V.

(489) κῆρ. ὦ F.

490. οὐκ ἀντερῶ Fl.

(490) ἀντ. ἀντείπω, ἀντιλέξω F.

(491) ἔρ. πόθος ὤφειλεν· πόθος γὰρ ἐπὶ ἀπόντων λέγεται F. — ἐγ. ἐπαίδευσεν, ἐδίδαξεν F.

492. ἐκδακρύειν F.

(492) ὄμμ. ἐν F. — χαρ. ἤγ. ἐπὶ τῇ ἀνεκλαλήτῳ χαρᾷ F.

493. ἴστε Fl.

(493) τερπν. εὐφραντῆς F. — ἦτε. ὑπήρχετε F. — τῆςδ'. τῆς ἐρωτικῆς F. — ἐπ. μέτοχοι F.

(494) δεσπ. κύριος γενήσομαι, καὶ κατανοήσω τοῦτον. F.

(495) τῶν ἀντ. ἡμῶν δηλονότι F. — ἱμ. ἔρωτι F. — πεπλ. τετρωμένος F.

(496) ποθ. ἤγ. λέγεις ὅτι ἐπόθει ἡ γῆ τὸν στρατόν F. — (493—496): ἐρωτικὴν εἴχετε, φησί, νόσον τερπνήν, ἐπεὶ εἴχετε καὶ τοὺς ἀντερῶντας (Σχ. π.) Τῶν γὰρ ἄλλων νόσων λυπηρῶν οὐσῶν αὕτη μόνη τερπνή ἐστι.

Χο. Ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενὸς ἀναστένειν.
Κη. Πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ;
Χο. Πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
Κη. Καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινάς;
Χο. Ὧν νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις.
Κη. Εὖ γὰρ πέπρακται· ταῦτα δ' ἐν πολλῷ χρόνῳ
τὰ μέν τις εὖ λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα· τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
Μόχθους γὰρ εἰ λέγοιμι καὶ δυςαυλίας,
σπαρνὰς παρήξεις καὶ κακοτρώτους, τί δ' οὐ

Μὴ νοήσαντος δὲ τοῦτο τοῦ κήρυκος ἐπάγει τὴν λύσιν ἑξῆς λέγουσα (i. e. Clyt.)· εἰ ἐτρώθης τῷ ἔρωτι ἡμῶν τῶν ἀντερώντων, οἶδας ὃ λέγω. πρὸς ὃ πάλιν οὗτος ἐπιφέρει· λέγεις τήνδε τὴν γῆν ποθεῖν τὸν στρατὸν ποθοῦντα καὶ αὐτὸν αὐτήν, τουτέστι λέγεις ὡς ἐπόθει ἡ γῆ τὸν στρατὸν καὶ ἀνεποθεῖ τὸ (l. ἀντεποθεῖτο) ὑπ' αὐτοῦ; F. (Ἡμ.).

497. μ' ἀναστένειν Scal.

(497) ὡς· ὥςτε F. — ἀμ. κρυφαίας δι' Αἴγισθον F. — ἀν. στενάζειν F.

498. Leg. τοῦτ';

(498) πόθ. μίσους γὰρ ἦν τὸ στενάζειν ὑπὲρ ἐκείνου F. — στ. μῖσος F.

(499) σιγ. σιωπῶ, φησίν, ἵνα μὴ βλαβῶ F.

(500) κοιρ. τῶν βασιλέων F. — ἔτρ. ἐφοβοῦ F.

501. ὡς νῦν Scal. — τὸν σὸν (in Sch. l. τὸ σὸν) V.

(501) ὧν. ὧν ἐστι τὸ εἰρημένον ὑπὸ σοῦ τὸ τεθνᾶναι δ' οὐκέτ' (δ' οὐκ ἔτ' V.) ἀντερῶ θεοῖς F. (Σχ. π.) V.

(502) εὖ. ὥςτε καὶ εἴ τινι συμβαίη θάνατος, εὖ ἂν ἔχοι καὶ χάρις ἂν νομισθείη F.

503. ἂν λέξειεν Aur.

(503) εὐπ. ἥγ. καλῶς πεσόντα F.

(504) κἀπ. μεμπτὰ λέξειεν F. — πλ. ἄνευ F.

(505) ἀπ. ἀβλαβής F. — τὸν δι' αἰῶν. τὸν διηνεκῆ F.

506. δυςαυλίας Fl. F. V. C.

(506) μόχθ. ἐν ταῖς μάχαις F. — δυςαυλ. διὰ τὸ ὑπαίθρους αὐλίζεσθαι καὶ διάγειν F.

507. Fl. V. κακοστρώτους F. C.

(507) σπ. σπανίους (ἀντὶ τοῦ σπανίως V.)· καὶ τούτου γὰρ οὐ συνεχῶς ἀπηλαύομεν (l. ἀπελ.)· τὸ δὲ παρήξεις ἀντὶ τοῦ παραδρομὰς ἐπὶ τοῦ καταστρώματος τῶν νεῶν. F. (Σχ. π.) σπανίους Fl. — παρ. παραδρομάς F. — κακ. δυςκόλους F.

στένοντες οὐ λαχόντες ἤματος μέρος;
τὰ δ' αὖτε χέρσῳ καὶ προςῆν, πλέον στύγος·
— εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν· —
ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψέκαζον, ἔμπεδον σίνος
ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα.
Χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών· —
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος,
παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν,
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν·

---

508. οὖ λαχόντες, Schütz.

(508) οὐ λαχ. ἤγ. ποῖον δὲ μέρος τῆς ἡμέρας οὐκ ἐλάχομεν στένοντες; F.

(509) χέρσ. ἐν F. — πρ. ἐμίσει γὰρ ὁ γρηγορῶν τὸν ὑπνοῦντα F. — στ. μῖσος F.

(510) εὐν. κοῖται F. — ἦσ. ἡμῖν F. — δη. τῶν πολεμίων, ἤτοι τῶν Τρώων F. — πρ. ἐν F.

(511) λειμ. λειμῶνα λέγει νῦν τὸ κοινῶς λιβάδιον F. (Haupt p. 71 male l. λιβάδα).

(512) κατ. κατεδρόσιζον F. — ἔμπ. τὸ ἑδραῖον, ἤτοι τὸ περιβεβλημένον (ἤγ. τὸ περιβεβλημένων V.) ἡμῖν κάλλος F. V.

(513) ἐσθ. τῶν F. τῶν ἐνδυμάτων F. — τιθ. ποιοῦντες F. — ἔνθ. ὀρθίαν δίκην θηρῶν F. — τρ. ἡμῶν F.

514. εἰ λέγει F.

(514) οἰων. ὁ γὰρ σφοδρὸς χειμὼν καὶ τὰ κτήνη καὶ τοὺς ὄρνιθας κτείνει F.

(515) ἄφ. ἀφόρητον F. βαρὺν Fl. — Ἰδ. ἡ ἐν Ἴδῃ γινομένη F.

(516) θάλπ. καῦμα F. — εὖτε. ὁπηνίκα F.

(517) ἀκ. ἀτάραχος F. — νην. νηνεμίαν ἐχούσαις F. — εὕδ. ἡσυχάζει (sic) F. ὃ ποιεῖν εἰώθασιν ἄνθρωποι ἐν μεσημβρίᾳ· πεσόντες γὰρ καθεύδουσιν ἐπὶ νηνεμίαν ἔχουσι τόποις, τὸ ἐκ τῆς ἀκτῖνος τοῦ ἡλίου θάλπος ἐκκλίνοντες. Τοῦτο οὗτος ἐπὶ τὸν πόντον μετήνεγκε, χάριν τῷ λόγῳ περιτιθεὶς καὶ ἔμψυχον αὐτὸν ἐργαζόμενος F. (Ἡμ.)

(518) δεῖ. πρέπει F. — παρ. παρῆλθεν F.

(519) παρ. παρῆλθε F.

520. μὴδ' Fl. μὴ δ' F. μηδ' V. C.

Τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν;
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου,
καὶ πολλὰ χαίρειν συμφοραῖς καταξιῶ.
Ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει·
ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις·
Τροίην ἑλόντες δήποτ' Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος.
Τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς, καὶ χάρις τιμήσεται
Διὸς τάδ' ἐκπράξασα· πάντ' ἔχεις λόγον.
Χο. *Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι·*
ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν·

---

(520) *μέλ.* ἐν φροντίδι ἔχειν F.

(521) *τί·* χρή. κατὰ συνεκδοχήν F. V. — *τοὺς ἀν.* τοὺς φθαρέντας F. — *ἐν ψήφ.* ἤγ. τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπωλολότων; F. V.

(522) *τύχ.* ἕνεκα F. ἐπὶ τῇ ἀποβολῇ τῶν ἀπολλυμένων δεῖ τὸν ζῶντα ἀλγεῖν, καὶ πάλιν ἐπὶ ταῖς εὐποτμίαις χαίρειν F. (Σχ. π.) V.

(523) *συμφ.* τοῖς συμβᾶσιν ἁπλῶς F. — *κατ.* ἄξιον κρίνω F.

(524) *ἡμ.* ἐν F. — *λοιπ.* τοῖς ὑπολειφθεῖσιν F.

(525) *πῆμα.* βλάβη F. — *ἀντ.* ἐναντιοῦται· παρῆλθε γὰρ τὰ δεινά F.

(526) *ὡς.* ὥςτε F. — *κομπ.* ἤγ. μετὰ σεμνότητος εἰπεῖν F. — *τῷδ'·* ἐν F. — *εἰκ.* ἐστί F. — *ἡλ. φάει.* ἤγ. ἐν τῇ νῦν ἡμέρᾳ F.

(527) *ποτ.* διερχομένοις τῇ φήμῃ F.

528. *Τροίαν* F. *Τροίην* Fl. V. C.

(528) *ἑλ.* πορθήσαντες F.

(530) *δόμ.* ἐν τοῖς ναοῖς F. — *ἐπ.* ἀνέθεντο ἐπὶ πασσάλοις ἀναρτήσαντες F. — *γάν.* εὐφροσύνην ἐκ παλαιῶν ἀνατεθεῖσαν χρόνων F.

(531) *κλ.* ἀκούοντας τινάς F. — *εὐλ.* ἐπαινεῖν F. — *πόλ.* τήν F.

(532) *τιμ.* τιμηθήσεται F. ἤγ. ὁμολογήσουσι καὶ τῷ Διῒ χάριν τῷ τάδε διαπραξαμένῳ F. (Σχ. π.) V.

(533) *ἐκπρ.* ἐκτελέσασα F.

(534) *λόγ.* ἐν F. — *ἀν.* ἀπαρέσκομαι, ἀλλὰ χαίρω ἀκούων ἅπερ οὐκ ἤκουσα F. χαίρω ἐν τῷ μὴ ἀντιλέγειν Fl. V. (qui habet ἀντιλογεῖν).

(535) *ἡβ.* ἀκμάζει F. V. — *γέρ.* ἐπιθυμοῦσι γὰρ μανθάνειν ὧν οὐκ

δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν
εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.
Κλ. Ἀνωλολύξαμεν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς,
φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
Καί τίς μ' ἐνίπτων εἶπε· φρυκτωρῶν δία
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς, αἴρεσθαι κέαρ.
Λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην·

εἰς πεῖραν ἦλθον F. V. τοῦτο ὅμοιόν ἐστι τῷ· Σωκράτης τὰς ἐν γήρᾳ μαθήσεις οὐκ ἔφευγεν. Οἱ γὰρ σοφοὶ ἀεὶ τὰ βέλτιστα μανθάνειν ἐπιθυμοῦσι καὶ ὧν οὐκ εἰς πεῖραν ἦλθον. Ὃ δὴ καὶ οἱ παρόντες λέγουσι γέροντες· χαίρομεν γάρ, φασι, ἐν λόγοις νικώμενοι, ἤγ. πλείονας λόγους ὧν ἴσμεν ἀκούοντες· ἐπεὶ ἀκμαῖοί τινες ἐσμὲν εἰς τὸ τὰ βέλτιστα μανθάνειν κἂν καὶ (sic) τὰ μέλη παρειμένα τῷ χρόνῳ κεκτήμεθα. F. (Ἡμ.)

(536) δόμ. ἤγ. τοῖς οὖσιν ἐν τῷ οἴκῳ F. — μέλ. διὰ φροντίδος εἶναι F.

(537) εἰκ. πρέπον ἐστίν F. — σὺν δὲ πλ. μεταδιδόναι μοὶ τῆς χαρᾶς Fl. V. ἤγ. μεταδιδόναι μοι τοῦ τοιούτου, ἤτοι τῆς χαρᾶς F.

(538) ἀνωλ. ἤγ. ἐπαιανίσαμεν F.

[538] Chr. pat. vs. 71: Ἀνηλάλαξα πῶς πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθεν εὐάγγελος ἀγγέλλων τόκον
φράζων ἄλυξιν δυσμενῶν βροτῶν γένει
καὶ γηθόσυνον χάρμα μοι φέρων μέγα;
λόγοις δὲ τοῦδ' εὔπλαγκτος οὐκ ἐφαινόμην,
πεισθεῖσα τῷ φέροντι θέσκελον φάτιν·
. . . . .
ὅμως δ' ἔθυον καὶ γυναικείῳ νόμῳ
ψυχῆς τ' ἔπεμπον ἀλαλαγμὸν ἐκ μέσης,
λάσκουσ', ἀνευφημοῦσα τὴν ἀγγελίαν,
θυηφάγον φέρουσά τ' εὐώδη φλόγα.

(539) νύχ. νυκτερινός F. δέον ὁ πρῶτος τοῦ νυχίου πυρὸς ἄγγελος εἰπεῖν, ὁ δὲ πρὸς τὸ ἄγγελος νύχιος εἶπεν F. (Ἡμ.)

(540) φρ. λέγων, μηνύων F. — ἀν. ἀνατροπήν, κατασκαφήν F.

(541) ἐν. βλάπτων, ἤγ. ὀνειδίζων F. — φρ. δία. ἤγ. διὰ φρυκτώρων F.

(543) ἦ· ὄντως F. — κάρτ. λίαν F. — πρ. γυν. ἤγ. γυναικός ἐστι μετεωρίζεσθαι καὶ μέγα φωνεῖν (φρονεῖν V.), ἀκούσασάν τι. F. V.

(544) λόγ. ἤγ. ὑπὸ τοιούτων λόγων, τοῦ ἀγγέλου δηλονότι, ἐπλανήθην καὶ εὐπαράγωγος γέγονα F.

ὅμως δ' ἔθυον καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες, ἐν θεῶν ἕδραις
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
Καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
Ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι· τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν
ἀπὸ στρατείας ἄνδρα, σώσαντος θεοῦ,
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει,
ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα

---

(545) ἔθ. τοῖς θεοῖς δηλονότι F.

(546) ὀλ. μετὰ θρήνου ὕμνον F.

547. ἐνθέων Fl. V. C. ἐν θεῶν F.

(547) ἔλ. ἐβόων F. — ἕδρ. ναοῖς F.

(548) θυηφ. τὴν τὰ θύματα κατεσθίουσαν F. — κοιμ. πραΰνοντες ἐπὶ τῷ ὀπτῆσαι ἢ θυμιᾶσαι F. — (545—548): ἤγ. ὡς χρὴ γυναιξὶν ἀρχούσαις ποιεῖν, οὕτω κἀγὼ πεποίηκα προστάξασα πάντας τοὺς ἐν τῇ πόλει εὐφημεῖν καὶ θυσίας προσφέρειν τοῖς θεοῖς· ὃ καὶ ἐποίουν ἅπαντες καταστέλλοντες τὴν ἔξαψιν τῆς φλογὸς ὥςτε προσενεγκεῖν θυμιάματα· τοῦτο γάρ μοι δοκεῖ λέγειν τὸ κοιμῶντες εὐώδη φλόγα. F. (Ἡμ.)

(549) τὰ μάσσω. τὰ μακρά F. V.

(550) ἄν. ἤγ. παρ' ἐκείνου μαθήσομαι πάντα F. — πεύσ. ἀκούσω F. — λόγ. τὸν περὶ τῆς ἁλώσεως F.

(551) ὅπ. σκοπήσω F. — ἄρ. ἀρίστως F. — αἰδ. αἰδέσιμον F. — πόσ. ἄνδρα F.

(552) πάλ. εἰς τοὐπίσω F.

(553) φέγγ. ἤγ. φῶς F. — ἥδ. γλυκύτερον F. — δρ. θεάσασθαι, ἰδεῖν F.

(555) πύλ. ὥςτε F. — ἀπ. εἰπέ F. — πόσ. τῷ ἀνδρί F.

(556) ἥκ. ἐλθεῖν F. — ὅπ. λίαν F. — ἐρ. ἐρᾷ γὰρ αὐτοῦ ἡ πόλις F.

(557) μολ. ἐλθών F.

(558) ἔλ. ἀφῆκεν ἀπαίρων F. — κύν. ἤγ. φύλακα F. V. ὅρα τὸ παράδειγμα τῆς κυνός· εἰ καὶ δοκεῖ τοῦτ' εἰληφέναι τὸν ποιητὴν διὰ τὴν φυλακὴν μόνην, ἀλλ' ἔχει τι καὶ βαθύτερον. βουλόμενος γὰρ τὴν μοιχείαν

ἐσθλὴν ἐκείνῳ πολεμίαν τοῖς δύςφροσιν
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου·
οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.
Κη. Τοιόςδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.
Χο. Αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
Σὺ δ' εἰπέ, κῆρυξ· Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν
ἥξει σὺν ὑμῖν, τῆςδε γῆς φίλον κράτος.
Κη. Οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλά

ταύτης δηλῶσαι καὶ ὅτι, ὥςπερ ἡ κύων οὐχ ἑνὶ ανδρὶ χρῆται, οὕτως οὐδ' ἐκείνη. εἰ καὶ λαθεῖν βουλομένη ἐπὶ τούτῳ σεμνύνεται, ἄλλου τέρψιν ἀνδρὸς οὐκ εἰδέναι φάσκουσα, τῇ κυνὶ ταύτην παραβάλλει F. (Σχ. π.)

(559) ἐσθλ. ἀγαθήν, φίλην F. — δύςφρ. τοῖς ἐχθροῖς αὐτοῦ F.

(560) σημ. σφραγῖδα τῆς πρὸς τὸν ἄνδρα εὐνῆς F. V.

(561) ἐν μήκ. χρ. ἤγ. ἐν τῇ μακρᾷ ἐκείνου ἀποδημίᾳ F.

(562) τέρψ. ἡδονὴν ἄλλου ἀνδρός· ἐνταῦθα γὰρ συνάπτεται F. — φάτ. φήμην F.

[562] Chr. pat. 65: οὐκ οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν
τινὸς πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.

(563) μᾶλλ. ὥςπερ οὐκ οἶδα τὰς βαφὰς τοῦ σιδήρου, οὕτως (οὕτ. om. F.) οὐδὲ ἡδονὴν ἑτέρου ἀνδρός F. (Σχ. π.) V.

(564) τοιόςδ'. ὁ F. ἤγ. τὰ τοιαῦτα κομπάζειν ἀληθῆ F.

(565) αἰσχρ. ἐστὶ γυναικὶ F. — ὡς. ὥςτε λακεῖν F. — λακ. εἰπεῖν F. γενναίᾳ γυναικὶ οὐκ αἰσχρόν ἐστι τὸ κομπάζειν F. (Σχ. π.)

(566) εἶπε. τὸν λόγον F.

(567) τορ. ἀκριβέσιν, ἀληθέσιν F. — ἑρμ. λόγοις ἐξηγητικοῖς F. — εὐπρ. σεμνῶς F. αὕτη μὲν οὕτως εἶπεν ὥςτε σὲ μαθεῖν, οὐχ ἡμᾶς, ἀκριβῶς ἑρμηνεύσασα F. οὕτως εἶπεν ἀκριβέσι λόγοις καὶ ἐξηγητικοῖς, ὥςτέ σε μαθεῖν V.

(568) κῆρ. ὦ F. — πεύθ. ἐρωτῶ F.

(569) νόστ. ἤγ. εἰ ὑπονοστήσει σεσωσμένος F.

(570) ἥξ. ἐλεύσεται F. — φίλ. τό F. ἤγ. ὁ φίλος ἄρχων τῆςδε τῆς γῆς F.

(571) ὅπ. ὅτι F.

ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.
Χο. *Πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχης;*
σχισθέντα δ' οὐκ εὔκρυπτα γίνεται τάδε.
Κη. *Ἀνὴρ ἄφαντος ἐξ Ἀχαιϊκοῦ στρατοῦ*
αὐτός τε καὶ τὸ πλοῖον· οὐ ψευδῆ λέγω.
Χο. *Πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,*
ἢ χεῖμα κοινὸν ἄχθος ἥρπασε στρατοῦ;
Κη. *Ἔκυρσας ὥςτε τοξότης ἄκρος σκοποῦ·*
μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.
Χο. *Πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος*
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;
Κη. *Οὐκ οἶδεν οὐδείς, ὥςτ' ἀπαγγεῖλαι τορῶς,*
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.

---

572. Leg. *φιλοῦσι.*

(572) *φίλ.* τοῖς F. — *καρπ.* καρποφορεῖν, παρέχειν F. οὐκ ἐπαινῶ τὰ ψευδῆ ὡς δυνάμενα ἐπὶ πολὺν χρόνον καλὰ τοῖς φίλοις καρπίζεσθαι. ἀντὶ τοῦ· οὐκ ἐπὶ πολὺ ἐπαινετὰ ὑπὸ τῶν φίλων τὰ ψευδῆ. F. (Σχ. π.)

573. *τύχοις;* Schütz.

(573) *κεδν.* προςφιλῆ, ἀγαθά F.

574. *γίγνεται* Schütz.

(574) *σχ.* διαιρεθέντα F. — *δ'.* γάρ F. — *εὔκρ.* ἀλλὰ φανερά F. πῶς δὴ δύνασαι ἀληθῆ ἅμα καὶ προςφιλῆ ἀγγεῖλαι; χωρισθέντα γὰρ ἀλλήλων ὁρᾶται F. (Σχ. π.)

575. *ἄνηρ* H. Cf. 789.

(575) *ἀν.* ὁ F. — *ἄφ.* ἀφανής ἐστιν F. — *Ἀχ.* τοῦ τῶν Ἀχαιῶν F.

(576) *πλ.* αὐτοῦ F. — *οὐ ψευδ.* ἀλλ' ἀληθῆ F.

(577) *ἀν.* ἤγ. ὑποστρέφων F. — *ἐμφ.* φανερῶς F. — *Ἰλ.* τῆς Τροίας F.

(578) *χεῖμ.* χειμῶν, κλύδων F. — *ἄχθ.* βάρος F. — *ἥρπ.* ἐξέκοψεν, ἐχώρισεν F.

579. *τοξότης* Fl. F. V. C.

(579) *ἐκ.* ἐπέτυχες τοῦ σκοποῦ F. — *ὥςτ.* ὥςπερ F. — *ἄκρ.* πρῶτος, ἐξαίρετος F.

(580) *μακρ.* τὴν μεγάλην βλάβην τὴν γενομένην ἡμῖν F. — *ἐφ.* ἔλεξας F.

(582) *φάτ.* φήμη F. — *ναυτ.* ναυτῶν F. — *ἐκλ.* ἐφημίζετο F.

(583) *ἀπ.* μηνῦσαι F. — *τορ.* ἀληθῶς F.

(584) *τρέφ.* τοῦ ζωογονοῦντος F. — *ἡλ.* οὗτος γὰρ πάντ' ἐφορᾷ F. — *χθ.* τῆς γῆς F.

Χο. Πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαι τε δαιμόνων κότῳ;
Κη. Εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα· —
τοιῶνδε μέντοι πημάτων σεσαγμένων
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων·

---

(585) γάρ. δέ F. — χειμ. κλύδωνα F.

(586) ἐλθ. ἐνταῦθα τὸ δαιμόνων κότῳ F. — τελ. λῆξαι F. — δαιμ. τῶν θεῶν F. — κότ. ὀργῇ F.

(587) ἦμ. ἡμέραν F. — κακ. κακὰ ἀγγελλούσῃ F.

(588) μιαίν. μολύνειν F. — χωρ. ἤγ. ταῦτα λέγοντες ἀτιμάζομεν τοὺς θεούς F. V. — (587 sq.): εὔφημον ἦμαρ τὴν ἡμέραν λέγει ταύτην, ἐν ᾗ τὰ περὶ τῆς ἁλώσεως τῆς Τροίας ἔφερε μηνύματα. ὅταν οὖν, φησι, διηγῆται τὶς περί τινων κακῶν γεγενημένων, μιαίνει καὶ μολύνει τὴν εὔθυμον ταύτην καὶ χαρμόσυνον ἡμέραν. Οὐ πρέπει οὖν τοῦτο ποιεῖν, ἀλλὰ τιμᾶν τοὺς θεοὺς τοὺς δεδωκότας τὴν εὐθυμίαν καὶ τὰ δεινὰ λελυκότας. F. (Ἡμ.)

(589) ἀπ. ἀνέλπιστα F. — πήμ. συμφοράς F.

(590) στ. κατηφεῖ F. — πτ. τοῦ πεπτωκότος, τοῦ ἀπολωλότος F.

(591) ἕλκ. ἤγ. λύπη μία F. — δήμ. τὸ δημόσιον, τὸ κοινόν F. — τυχ. φέρει ὥςτε F.

(592) ἐξαγ. ἐξορισθέντας Fl. F. V.

(593) διπλ. κοινῇ καὶ ἰδίᾳ F. — μάστ. τιμωρίᾳ, φόνῳ F. — φιλ. ἀγαπᾷ F.

(594) δίλ. διπλῆν λέγω F. — ἄτ. βλάβην οὖσαν F. — φοιν. φονικὴν δυάδα F. — ξυν. ἤγ. ἅρμα. φέρει ἀπὸ κοινοῦ F.

595. σεσαγμένον Schütz.

(595) μέντ. δέ F. — πημ. συμφορῶν F. — σεσ. σεσωρευμένων F. V.

(596) λέγ. ὑμνεῖν F. — παιᾶν. ὕμνον F. — τόνδ'. τὸν ἁρμόζοντα αὐταῖς F. ὅταν, φησὶ, συμφοραί τινες ἐπέλθωσι, πρέπει ὑμνεῖν τὰς Ἐριννῦς καὶ οἷόν τινα παιᾶνα ἐπᾴδειν αὐταῖς τόνδε, ἤγ. τὸν ἐπὶ τ οὕτοις πρέποντα, ὥςτε αὐτὰς ἐκμειλίξασθαι, λύσιν τῶν συμφορ[illegible]

[illegible] ποιῆ[illegible]

σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν· —
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
Ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρίν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
Ἐν νυκτὶ δυςκύμαντα δ' ὠρώρει κακά·
ναῦς γὰρ πρὸς ἀλλήλαισι Θρῄκιαι πνοαὶ
ἤρεικον· αἳ δὲ κερωτυπούμεναι βίᾳ
χειμῶνι τυφῷ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ
ᾤχοντ' ἄφαντοι ποιμένος κακοῦ στρόβῳ.
Ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς

σασθαι, καὶ διασκεδάσαι τὰ χαλεπά. συμφορῶν γὰρ αἱ θεαὶ αἴτιαι F. (*Ἡμ.*).

(598) *ἥκ. ἐμέ* F. — *εὐεστ. εὐτυχίᾳ* F. *εὐτυχεῖ* V.

(599) *κεδν. προςφιλῆ, ἀγαθά* F. — *συμμ. ἑνώσω* F.

(600) *χειμ. λέγω* F. — *οὐκ ἀμ. ἀλλ' ἐξ ὀργῆς θεῶν γεγονότα* F.

(601) *ξυν. συνέθεντο* F. — *ἐχθ. ἐχθροὶ ἡμῶν, ἤγ. μισοῦντες ἡμᾶς* F. *ἐκφράζει τὴν τοῦ χειμῶνος χαλεπότητα* F. (*Σχ. π.*) V.

(602) *πῦρ καὶ θάλ. διὰ τοὺς κεραυνοὺς καὶ τὰς τρικυμίας* F. — *τὰ πίστ'. ἤγ. τὴν τῶν συνθηκῶν πίστιν* F.

(603) *δύστ. τὸν ἄθλιον* F.

(604) *δυςκ. χαλεπά* F. — *ὠρ. διηγείρετο* F.

605. *Θρῃκῖαι* Fl. (antea *Θρηϊκῖαι*).

(605) *ναῦς. τάς* F. — *πρ. ἐν* F. — *Θρ. ἀπὸ Θράκης ἄνεμοι πνέοντες* F.

606. *κεροτυπ.* Wassius ad Thuc. IV, 84, 3.

(606) *ἤρεικον. κατέβαλλον, συνέκρουον* F. Cf. vs. 64. — *κερ. ἤγ. τυπτόμεναι παρ' ἀλλήλων* F. *ἤτοι τοῖς κέρασιν ἀλλήλων τυπτόμεναι. ἡ μεταφορὰ ἀπὸ τῶν ταύρων* F. (*Σχ. π.*) V.

607. *τυφῷ* F.

(607) *ζάλ. ταραχῇ* F. — *ὀμβρ. σὺν ὄμβρῳ γεγενημένῃ* F.

(608) *ᾤχ. διεσκεδάσθησαν* F. — *ἄφ. ἀφανεῖς* F. — *ποιμ. τοῦ ἐπινεμομένου αὐτὰς ἀνέμου* F. — *στρ. συστροφῇ* F.

(609) *ἀν. ἀνέτειλεν* F.

610. *Ἀργείων.* Cf. [610].

(610) *ἀνθοῦν εἶπε τὸ πέλαγος ἐν τοῖς νεκροῖς, ἐπειδὴ τὸ μέν ἐστι*

ἀνδρῶν Ἀχαιῶν ναυτικῶν τ' ἐρειπίων.
Ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος
ἤτοι τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών·
Τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο,
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
Ἔπειτα δ' ᾅδην πόντιον πεφευγότες
λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ,

μέλαν, λευκὰ δὲ τὰ σώματα. Ὥςπερ οὖν ἡ γῆ ἀστράπτει τοῖς ἄνθεσι καὶ ὡραΐζεται, οὕτω καὶ τὸ πέλαγος διηνθισμένον ἐδόκει τοῖς λευκοῖς σώμασιν F. (*Ἡμ.*). — *νεκρ. ἐν* F.

[610] Script. *de barb.* (cf. Ammon. *Valck.*) p. 197: *ἀκυρολογία περὶ τὸ σημαινόμενον ἁμαρτάνεται· τῆς δὲ κακίας μέρος ἐστίν· ὡς παρὰ τῷ Καλλιμάχῳ ἐπὶ τῶν ἀπολομένων νηπίων· μητέρας ἐξεκένωσαν, ἐκούφισαν δὲ τιθήνας· τοὐναντίον γὰρ ἐβάρυναν ἀπολέσαντες τὰ ὑπ' αὐτῶν τρεφόμενα βρέφη· καὶ παρ' Αἰσχύλῳ· ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς.* — Greg. Cor. (ap. Walz. Rhett. Gr. VII, 1133): *ἀκυρίας δὲ μνησθέντες φέρε παραθήσομέν τινας τῶν τοιούτων λέξεων πρὸς πλείονα ταύτης ἔνδειξιν· αὐτίκα παρὰ τῷ Καλλιμάχῳ εὑρίσκεται ἐπὶ τῶν ἀπολλυμένων νηπίων· ἐκουφίσθησαν δὲ τιθῆναι· τοὐναντίον γὰρ ἐβαρύνθησαν, ἀπολέσασαι τὰ ὑπ' αὐτῶν τρεφόμενα· καὶ ὁρῶμεν ἀνθοῦν πέλαγος Ἀργείων νεκροῖς.*

(611) *ναυτ. ἤτοι τῶν πλοίων* F. — *ἐρ. πτωμάτων* F.

612. *ναῦντ'.* F.

(612) *ναῦν. τὴν* F. — *τ'· καὶ* F. — *ἀκ. ἀβλαβές* F. — *σκ. τὸ πλοῖον λέγω* F.

(613) *τις. τὸ Θεὸς ἐνταῦθα* F. — *ἐξέκλ. ἤγ. ἐρρύσατο* F. — *'ξῃτ. ὥςτε μὴ ἀποθανεῖν· τὸν Δία δηλονότι* F.

(614) *οὐκ ἄνθρ. οὐ γὰρ ἐξ ἀνθρώπου διεσώθημεν, ἀλλὰ θεοῦ* F. — *θιγ. ἀψάμενος* F.

(615) *τύχ. ἡ* F. — *σωτ. ἡ* F. *ἡ σώτειρα* F. — *ναῦν. τὴν* F. — *ἐφ. ἐπεκάθητο αὐτῇ* F.

(616) *ἐν ὅρμ. ἐν λιμένι* F.

(617) *ἐξ. ἐλλιμενίσαι* F. — *κρατ. ἤγ. ὑπὸ τοῦ λαοῦ κρατουμένην, ἤτοι ὀχλοκρατουμένην* F.

(618) *ᾅδ. πόντ. ἤγ. τὸν ἐκ θαλάσσης θάνατον* F.

(619) *λευκ. ἤγ. κατὰ τὴν φανῆσαν* (l. *φανεῖσαν.* Cf. 1109) *φωτεινὴν*

ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ κάμόντος καὶ κακῶς σποδουμένου.
Καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας· τί μή;
ἡμεῖς τ' ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν.
Γένοιτο δ' ὡς ἄριστα· Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα προςδόκα μολεῖν.
Εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
καὶ ζῶντα καὶ βλέποντα μηχαναῖς Διός,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
Τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.

Χο. Τίς ποτ' ὠνόμαζεν ὧδ' ἐς τὸ πᾶν ἐτητύμως —

ἡμέραν F. — οὐ πεπ. οὐ θαρροῦντες, ἀλλ' ἀμφίβολοι ὄντες εἰ ἔτι σωθείημεν F. V.

(620) ἐβουκ. ἤγ. ὥςπερ ἐθεραπεύομεν ἐν λογισμοῖς τισι F. V. — νέον· τὸ F. ἤτοι τὴν νέαν συμφοράν F. V.

(621) καμ. κινδυνεύσαντος F. — σποδ. διασκεδασθέντος δίκην σποδοῦ (ἤτοι κόνεως F.) F. V.

(622) ἐμπν. ἤτοι ζῶν F.

(623) ὀλ. φθαρέντας F. — τί μή. διὰ τί γὰρ οὔ; ἐκινδυνεύσαμεν γάρ F.

(624) ταῦτ'. ἤγ. τὸ ἀπολωλέναι F. — δοξ. λογιζόμεθα F.

(625) ὡς. λίαν F. — ἄρ. τὰ ἐκείνων δηλονότι F.

(626) μάλ. τῶν ἄλλων δηλονότι F. — πρ. ἐλπίδα ἔχε F. — μολ. ἐλθεῖν F.

(627) ἀκτ. ἡλ. ἤγ. ὁ ἥλιος περιφραστικῶς F. — νιν. αὐτόν F. — ἱστ. βλέπει F.

(628) βλ. ἐκ παραλλήλου· ὁ γὰρ ζῶν βλέπει F. — μηχ. βουλαῖς, οἰκονομίαις F.

(629) θέλ. βουλομένου F. — ἐξ. ἀφανίσαι F. — γέν. τοῦ Μενελάου δηλονότι. F.

(630) αὐτ. τὸν Μενέλαον F. — ἥξ. ἐλεύσεσθαι F.

631. ἀκούσασ' F. κλύειν F. Cf. Metr. ad vs. 440.

(631) ἴσθ. γίνωσκε F. — κλύειν. ἀκούειν F.

632. ὠνόμαξεν Fl. — ὧ | δ' F.

632. — 'Ο παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζ', ὧν τὰ μὲν ρ' εἰσὶ

μή τις ὄντιν' οὐχ ὁρῶμεν, προνοίαις τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων; —
τὰν δορίγαμβρον ἀμφινεικῆ θ' Ἑλέναν; ἐπεὶ πρεπόντως

χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. Ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξε. καὶ εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ, καὶ μονόμετρα κζ', ὧν τελευταῖον πόλιν οἰκουροῦντα πολιτῶν V. — Στροφὴ κῶλ. ιζ'. F. V. — Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν καὶ ἐξ ὁμοίων, ὡς εἴρηται. εἰσὶ γοῦν τὰ παρόντα στροφῶν δ'· καὶ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιζ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τῆς δευτ. ι' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς τριτ. ιβ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, καὶ τῆς τετ. ι' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Μετὰ δὲ ταύτας σύστημα ἐπιφθεγματικὸν κώλων κζ'· ἐφ' ἑκαστῆς στροφῆς καὶ ἀντιστροφῆς (cf. vs. 341 met.) παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ συστήματος κορωνὶς μόνη F. (Ἡμ.)

(632) ποτ'. ἄρα F. — ὠν. ἤγ. ἤλπιζεν, ἔλεγεν F. — ὧδ'. ἐνταῦθα F. γενέσθαι δηλονότι, ἤτοι ὑποστρέψαι τὴν Ἑλένην F. — ἐς τὸ πάν. παντελῶς F. — ἐτ. ἀληθῶς F.

633. προνοίαισι De P.

(633) μή τις. εἰ μὴ θεός τίς· λείπει γὰρ τὸ εἰ F. — οὐχ ὁρ. ἀόρατον γὰρ τὸ θεῖον F. — πρ. ἤγ. ὁ ταῖς προνοητικαῖς δυνάμεσι τῆς εἱμαρμένης F.

634. τύχᾳ (η sup.) F.

(634) γλ. ἤτοι λόγον F. — τύχ. εὐτυχίᾳ F. — νέμ. ὁ διδοὺς F.

635. ταν (η sup.) F. ἐλέναν (η sup.) F.

(635) δορ. τὴν διὰ πολέμων γαμουμένην F. — ἀμφ. περὶ ἣν δύο ἐφιλονείκουν F. — (623—636): Ἀκούσας ὁ χορὸς, ὡς ὅσον οὔπω ἐλεύσεται Μενέλαος, ἐπαγόμενος δηλονότι καὶ τὴν Ἑλένην, καὶ ἐκπλαγεὶς ἐπὶ τούτῳ φησί· τίς ἄρα ὠνόμαζεν, ἔλεγεν, ἤτοι ἤλπιζεν ἐς τὸ πάν, ἤγ. παντελῶς, ὧδε (sic) καὶ ἐνταῦθα, γενέσθαι δηλονότι, ἐτητύμως καὶ ἀληθῶς, ἤτοι ὑποστρέψαι. νοεῖν γὰρ χρὴ οὕτως, ἵν' εἴη τετελεσμένος ὁ λόγος. τίς οὖν ἤλπισεν ὧδε γενέσθαι τὴν Ἑλένην, τὴν δορίγαμβρον, ἤτοι τὴν διὰ πολέμων γαμουμένην, τουτέστιν ἧς ὁ γάμος περιμάχητος γέγονε· τὴν ἀμφινεικῆ, ἤτοι περὶ ἣν ἀμφότεροι ἐφιλονείκουν, Μενέλαός τε καὶ Πάρις, εἰ μὴ θεός τις, ἠπίστατο δηλονότι, τοῦτο, ὅντινα οὐχ ὁρῶμεν· ἀόρατον γὰρ τὸ θεῖον· ὁ ταῖς προνοίαις τοῦ πεπρωμένου, ἤτοι ὁ ταῖς προνοητικαῖς τῆς εἱμαρμένης δυνάμεσι νέμων καὶ διδοὺς γλῶσσαν καὶ λόγον ἐν τύχῃ, ἤτοι ὁ διδοὺς λόγον τοῖς τὰ τοιαῦτα προλέγουσι μάντεσιν ἐν τύχῃ καὶ εὐτυχίᾳ. μεγίστης γὰρ εὐτυχίας τὸ τοιούτων ἀξιωθῆναι τῶν ἀγαθῶν, ὥστε προλέγειν τὰ μέλλοντα. F. (Ἡμ.). — πρ. ἁρμοδίως καὶ οὐ παραλόγως F.

ἑλένας, ἕλανδρος, ἑλέπτολις,
ἐκ τῶν ἀβροτίμων
προκαλυμμάτων ἔπλευσεν
ζεφύρου γίγαντος αὔρᾳ·
πολυανδροί τε φεράσπιδες κυναγοὶ κατ' ἴχνος
πλάταν ἄφαντον
κελσάντων Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους
δι' ἔριν αἱματόεσσαν.

Ἰλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων

---

636. ἑλένας (η sup.) F.

(636) ὁ ἑλὼν καὶ καθελὼν τὸν τῆς Ἑλένης ἄνδρα Ἀλέξανδρον καὶ τὴν πόλιν αὐτοῦ F. V.

(637) ἀβρ. λίαν τιμίων F.

(638) πρ. ἤτοι τῶν περιεχόντων καὶ περικαλυπτόντων αὐτὸν οἴκων F.

(639) ζεφ. ἐξ ἑσπέρας γὰρ πνέων οὔριος τούτῳ γέγονεν F. V. — αὔρ. πνοῇ F.

[639] Hes. γίγαντος· μεγάλου, ἰσχυροῦ, ὑπερφυοῦς.

640. κυναγοὶ (η sup. α) F.

(640) πολ. ἤγ. ἄπειροι ἄνδρες F. — φερ. ὡπλισμένοι F. — κυν. ἔπλευσαν F. — ἴχν. ἐνταῦθα τὸ ἄφαντον. F. ὥςπερ τὰ τῶν θηρίων ἴχνη ἀναζητοῦσιν οἱ κυνηγοί, οὕτω καὶ αὐτοὶ κατ' ἴχνος εὐθὺς τοῦ Πάριδος ἔδραμον. τὸ δὲ ἄφαντον, ἐπεὶ φανερά εἰσι τὰ τῶν θηρίων ἴχνη, τὰ δὲ τῶν νεῶν ἀφανῆ F. (Σχ. π.)

641. πλαταν (η sup. α post.) F.

(641) πλ. τὴν κώπην F. — ἄφ. ἀφανές F.

642. ἀκτᾶς Fl. — εἰς ἀεξιφύλλους F.

(642) κελσ. ἤτοι πελασάντων F. — Σιμ. ποταμοῦ Τροίας F. — ἀεξ. συνίζησις F. αὔξουσι γὰρ ἐν ταῖς ἀκταῖς πόαι F.

(643) αἱμ. αἱματηράν· αἱμάτων γὰρ χύσιν ἔρις ποιεῖ F. — (640—643): ὅρα τὴν σύνταξιν· ἀφεὶς τὴν εὐθεῖαν πρὸς γενικὴν ἐπλαγίασε ποικίλλων τὸν λόγον. εἰ δὲ βούλει οὕτω λέγε· πολύανδροί τε κυνηγοὶ καὶ φεράσπιδες ἔπλευσαν κατ' ἴχνος ἄφαντον καὶ ἀφανὲς τῶν κελσάντων καὶ πελασάντων τὴν πλάτην εἰς τὰς ἀκτὰς τοῦ Σιμόεντος. τὸ δὲ δι' ἔριν αἱμ. πρὸς τὸ ἔπλευσαν σύναπτε. Τίνας δὲ λέγει κέλσαντας; τὸν Πάριν καὶ τοὺς σὺν αὐτῷ. F. (Ἡμ.)

644. — Ἀντ. κώλ. ιζ'. F. V.

(644) Ἰλ. τῇ Τροίᾳ F. — κῆδ. πένθος F. ἐπειδὴ τὸ κῆδος σημαίνει

μῆνις ἤλασε, τραπέζας ἀτίμως ἵν' ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διὸς
πρασσομένα τὸ νυμφότιμον μέλος ἐκφάτως τίοντας,
ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
γαμβροῖσιν ἀείδειν.
Μεταμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γεραιὰ
πολύθρηνον μέγα που στένει κικλήσκουσα Πάριν
τὸν αἰνόλεκτρον
παμπρόσθη πολύθρηνον αἰῶν' ἀμφὶ πολίταν
μέλεον αἷμ' ἀνατλᾶσα.

καὶ τὴν ἐπιγαμβρίαν καὶ τὸ πένθος, ἐδήλωσε νῦν ὅτι τὸ πένθος λέγει. F. (Σχ. π.) V. — ὀρθ. ἰλιὰς γὰρ κακῶν ἡ παροιμία φησί F. V.

645. ἤλασε Fl. F. ἔλασε V. C. — τραπέζας (η sup.) F. — ἀτίμωσιν C. p. 346.

(645) ἤλ. ἐπέφερε F. — τρ. ἕνεκα F.

(646) ξυν. ἕνεκα τοῦ ἐφορῶντος τοὺς συνοικοῦντας F.

647. πρασσομένα (η sup.) F.

(647) πρ. ἀπαιτοῦσα F. — νυμφ. τὸ τοὺς νυμφίους τιμῶν F. — ἐκφ. ἔξω λόγου, ἤγ. παραλόγως F. — τίοντ. τοὺς τιμῶντας, ἤτοι τοὺς εἰς τιμὴν ᾄδοντας Τρῶας F.

648. ἐπέῤῥεπεν Fl.

(648) ὑμ. τόν F. — ἐπέπρεπεν· ἥρμοζεν F.

(649) γαμβρ. τοῖς F. ἤτοι τοῖς νυμφίοις F. — ἀειδ. ὥςτε ᾄδειν ἐπ' αὐτούς F. — (644—649): τοῦτο βούλεται εἰπεῖν, ὡς ἡ μῆνις ἀπαιτοῦσα τὸ νυμφικὸν μέλος τοὺς Τρῶας τοὺς παραλόγως τιμῶντας τὸν ὑμέναιον, ἐπέφερε τῇ 'Ιλίῳ (sic) πένθος ὀρθώνυμον ἀτίμως ἐν ὑστέρῳ χρόνῳ ἕνεκα τῆς τραπέζης ἐν ᾗ συνειστιάθη Πάρις μετὰ τοῦ Μενελάου καὶ τοῦ συνεστίου Διὸς, ἤτοι τοῦ ἐφορῶντος τοὺς συνοικοῦντας F. (Ἡμ.)

(650) ὕμν. ἤτοι τὸν ὑμέναιον F.

(651) γερ. ἡ F. παλαιὰ καὶ ἀρχαιά F.

(652) πολ. ἤγ. πολυθρηνήτως καὶ μεγάλως F. — που· ἴσως F. — στ. στενάζει F. — κικλ. τὸν Πάριν τὸν αἰνόλεκτρον καλοῦσα παμπρόσθη F.

(653) αἰν. τὸν χαλεπὸν λέκτρον κτησάμενον διὰ τὰ συμβάντα δεινά F.

654. ,παμπρόσθη. F. Fort. leg. τἄμπροσθ' ἡ—. πάμπροσθ' ἡ Bl. — διαὶ Emper. — πολίταν (η sup.) F. πολιτᾶν Aur.

(654) παμπρ. πᾶν πρόςκομμα καὶ ἐμπόδιον γεγονότα F. — ἀμφ. πολ. ἤγ. διὰ τὸν 'Αλέξανδρον F.

(655) μέλ. λείπει ὁ καί F. — αἷμ'. φόνον F. — ἀν. ὑπομείνασα F. —

Ἔθρεψεν δὲ λέοντα
σίνιν δόμοις ἀγάλακτον
οὕτως ἀνὴρ φιλόμαστον,
ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα
καὶ γεραροῖς ἐπιχάρτον.
Πολέα δ' ἔσχ' ἐν ἀγκάλαις
νεοτρόφου τέκνου δίκαν
φαιδρωπὸς ποτὶ χεῖρα, σαίνων τε γαστρὸς ἀνάγκαις.

(652—655): *μέγα που ἀνασ'τένει αἰῶνα πολύθρηνον καὶ μέλεον αἷμα ἀνατλᾶσα* (V. ad *πολύθρ.* hacc adscr.)· *διὰ τὸν πολίτην αὐτῆς τὸν Ἀλέξανδρον* F. (*Σχ. π.*). *Οἱ μὲν γὰρ ὑπέστησαν φόνον, οἱ δὲ περισωθέντες διὰ πάσης αὐτῶν τῆς ζωῆς θρηνεῖν ἔμελλον, τῇ τε τῶν οἴκων στερήσει καὶ τοῖς ἐκ τῆς δουλείας κακοῖς πιεζόμενοι* F. (*Ἡμ.*) Ad *παμπρ.* adscr. in marg. *ληθη.*

656. — *Στρ. ἑτέρα κώλ. ι'* F. V.

(656) *ἔθρ. ἤγ. ἀνέθρεψεν αὐτὸν ἀνήρ τις ἐκτεθέντα· τὸν Ἀλέξανδρον λέγει* F. V. (is habet — *αὐτ. τὸν Ἀλ. τὶς ἐκτ.*).

(657) *σίν. βλαπτικόν, φθορέα* F. — *ἀγ. μήπω κεκορεσμένον γάλακτος· βρέφος γὰρ ἐξετέθη* F.

(658) *φιλ. ποθοῦντα μαστόν* F.

659. Leg. *βότας.*

(659) *ἐν ταῖς ἀρχαῖς τῆς ζωῆς αὐτοῦ* F.

660. *αμερον* (*η* sup.) F.

(660) *ἅμ. πρᾶον, ταπεινόν* F. — *εὐφ. τοὺς τῶν ἄλλων παῖδας καλῶς φιλοῦντα* F.

(661) *γερ. τοῖς γέρουσι* F. — *ἐπιχ. εὐφροσύνης πρόξενον* F.

(662) *πολ. ἤγ. πολλάκις* F. — *ἔσχ'. πρόςεσχε, προςῆλθε* F.

663. *νεοτρόφου* Fl. — *δίκαν* (*η* sup.) F.

(663) *νεοτρ. ἀρτιτρεφοῦς* F. — *δίκ. τρόπον* F.

664. *σαίνοντος* F. in Sch.

(664) *φαιδρ. χαρωπός* F. — *ποτ. πρός* F. *καὶ οἷον ἐφελκόμενος* F. — *ἀν. ἐν* F. *ἤγ. χρείαν ἔχων τροφῆς* F. — (662 sqq.): *προςῆλθε δὲ ταῖς ἀγκάλαις τῶν ἀνθρώπων πολλάκις καὶ πρὸς τὴν χεῖρα φαιδρωπὸς δίκην καὶ τρόπον τέκνου νεοτρόφου καὶ νεαροῦ, καὶ σαίνων ἐν ταῖς ἀνάγκαις τῆς γαστρὸς, τουτέστιν ἐκμειλίσσων οἷον καὶ ἐφελκόμενος αὐτοὺς δοῦναι αὐτῷ τροφήν. οἷα τὰ βρέφη ποιεῖν εἰώθασι προσερχόμενα τοῖς γονεῦσι καὶ τοῖς ἄλλοις οἷς ἐντυγχάνουσιν.* (F. *Ἡμ.*) *Οὕτω τὸ σαίνων πρὸς τὸ*

Χρονισθεὶς δ' ἀπέδειξεν
ἔθος τὸ πρὸς τοκήων·
χάριν γὰρ τροφᾶς ἀμείβων,
μηλοφόνοισιν ἄταισιν
δαῖτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη,
ἄμαχον ἄλγος οἰκέταις
μέγα σίνος πολύκτονον·
ἐκ θεοῦ δ' ἱερεύς τις Ἄτας δόμοις προσετράφη.

ἔσχε καὶ πρὸς τὸ φαιδρωπὸς ἀποδώσεις, καὶ οὐχ, ὥς τινες, πρὸς τὸ τέκνον ἀποδιδόντες, σαίνοντος φασίν· ὡς τὸ παρ' Ὁμήρῳ· ἀστράπτων ἐπὶ δέξια (Il. II, 353) F. (*Ἡμ.*) V. habet: *τὸ σαίν. πρ. τὸ φαιδρ. καὶ πρ. τὸ ἔσχε ἀπ. — τὸ τέκνον — ἐπιδέξια.*

665. — *Ἀντ. κώλ. ι'* F. V.

(665) *χρ. ἤγ. πρείστους διηνυκὼς χρόνους* F. — *ἀπ. ἔδειξεν* F.

666. *τὸ πρός γε τοκήων* Bothe.

(666) *ἐθ. τὸν νόμον* F. — *τὸ πρ. τοκ. τῶν παρὰ τῶν παίδων εἰς τοὺς τεκόντας* F.

667. *τροφᾶς γὰρ* Pears.

(667) *ἀμ. ἀποδιδούς* F. *ἤγ. ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν* F. V.

668. Leg. *μηλοφόνοισιν ἀΰταῖς.*

(668) *μηλ. ἤγ. φθοροποιοῖς τῶν θρεμμάτων ἀπὸ μέρους* F. — *ἄταισιν. ἐν* F. *ἤγ. πολέμοις* F.

(669) *δαῖτ'. εὐωχίαν* F. — *ἀκ. μὴ ὑπ' ἐκείνων εἰς τοῦτο προτραπείς* F. — *ἔτ. κατεσκεύασεν αὐτοῖς* F.

(670) *αἵμ. φονευθέντων τῶν ἐν αὐτῷ οἰκούντων* F. — *ἐφ. ἐμίχθη* F. (668—671): *βουλόμενος ἀμοιβὰς τοῖς τροφεῦσιν ἀποδοῦναι, οὐκ ἀγαθὰς αὐτοῖς ἀπέδωκεν, ἀλλὰ πολέμους καὶ μάχας κατασκευάσας. τά τε θρέμματα αὐτῶν καὶ τὴν ἄλλην πᾶσαν διώλεσεν ὕπαρξιν· καὶ αὐτοὺς τῷ θανάτῳ παρέδωκεν, ἀντ' εὐωχίας καὶ εὐφροσύνης λύπας καὶ στεναγμοὺς καὶ φθορὰν αὐτοῖς ἀποδεδωκώς.* F. (*Ἡμ.*).

(671) *ἄλγ. λύπη, συμφορά* F. — *οἰκ. τοῖς* F. *τῶν θρεψαμένων* F.

(672) *σίν. βλάβος* F. — *πολ. πολλοὺς κτεῖναν* F.

673. *ἄτας* (*η* sup.) F. — *προσεθρέφθη* Pors.

(673) *ἱερ. σφαγεύς, ὄλεθρος* F. — *ἄτ. ἀπωλείας* F. — *πρ. ηὐξήθη* F. — (672 sqq.): *οἰκέτας λέγει ἢ τοὺς τῶν θρεψαμένων αὐτὸν δούλους, ἢ καὶ αὐτοὺς ἐκείνους τοὺς θρεψαμένους. Οἱ γὰρ πρότερον τροφεῖς τε καὶ πατέρες εἶναι τούτου δοκοῦντες, ὕστερον ἀνακαλεσαμένων τοῦτον τῶν*

Παραυτὰ δ' ἐλθεῖν ἐς 'Ιλίου πόλιν
λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖον ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος.
Παρακλίνασ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτάς,
δύςεδρος καὶ δυςόμιλος συμένα Πριαμίδαισι
πομπᾷ Διὸς ξενίου
νυμφόκλαυτος 'Ερινύς.

γονέων εἰς τὰ βασίλεια, οἰκέται κἀκεῖνοι εὑρεθήσαν. 'Ιερέα δὲ Ἄτης τὸν 'Αλέξανδρον λέγει, ἐπειδὴ οἱ μὲν τὰς θυσίας ποιοῦντες τῶν θεῶν ἱερεῖς οὐκ Ἄτης εἰσὶν ἱερεῖς, ἀλλ' εὐθυμίας μᾶλλον καὶ ὠφελείας τοῖς τὰς θυσίας προσάγουσιν. Οὗτος δὲ τῶν τε θρεμμάτων καὶ τῶν ἀνθρώπων σφαγὰς ἐργασάμενος, εἰκότως Ἄτης ὠνόμασται ἱερεύς F. (*'Ημ.*)

674. Leg. *παρ' αὐτά.*

674. — *Στρ. ἑτέρα κῶλ. ιβ'* F. V.

(674) *παρ. ἤγ. αὐτίκα* F. — *ἐλθ. τὴν 'Ελένην* F.

675. *γαλανας* (dup. *η* sup.) F.

(675) *φρ. ἦλθε* F. — *νην. γαλ. ἤγ. φρονιμωτάτη οὖσα καὶ πραοτάτη* F.

676. *τ' ἄγαλμα* H.

(676) *ἀκ. λίαν κεκοσμημένον* Fl. F. V. — *ἄγ. κόσμος* F. — *ἄγ. πλ. διὰ τὸ κάλλος αὐτῆς· οὐ γὰρ ἦν δυςειδὴς ὥςτε τὸν πλοῦτον αἰσχύνειν* F. V.

(677) *μαλθ. ἤγ. ἠρέμα τιτρώσκουσα τῷ κάλλει τὰ ὄμματα τῶν ὁρώντων αὐτήν* F.

(678) *δηξ. ὡς δῆκον καὶ λυποῦν τὴν ψυχήν* F. — *ἀνθ. εὐπρέπεια* F.

(679) *παρ. παρακαθημένη καὶ συνανακλινομένη τοῖς Τρωσὶν* F. — *ἐπ. ἐποίησε* F. — *τελ. τὰ τέλη* F.

680. *συμένα* (*η* sup.) F. — *Πριαμίδαισιν* F.

(680) *δύςεδρ. ἐπὶ κακῷ συγκαθεσθεῖσα καὶ συνομιλήσασα ἐκείνοις* F. — *συμ. ὁρμηθεῖσα* (*ἤγ. ὁρμ.* V.) *καὶ ἐπελθοῦσα* F. — *Πρ. τοῖς* F.

681. *πομπᾳ* (*η* sup.) F.

(681) *πομπ. ἐν* F. — *Διός. οὗτος γὰρ ἔπεμψε ταύτην αὐτοῖς* F. V. *βουλόμενος ὥς φασιν ὁ Ζεὺς εἰς ἓν συνάψαι τὰ δύο τῆς οἰκουμένης μέρη, τό τε ἑῷον καὶ τὸ ἑσπέριον, καὶ φθορὰν τῶν ἀνθρώπων ἐργάσασθαι καὶ τὴν γῆν ἀπαλλάξαι τοῦ βάρους, τὴν 'Ελένην ἐξέπεμψαι* (l. *ἐξέπεμψε*) *τοῖς Τρωσί, καὶ τὸν δι' αὐτὴν συνεστήσατο πόλεμον. εἰκότως οὖν τὸ πομπῇ Διὸς εἴρηκεν* F. (*'Ημ.*) V. verba *τοῖς Τρ. καὶ τὸν Τρωϊκὸν δι' αὐτ.* — *πόλεμον* subiunxit verbis *ταύτην αὐτοῖς.*

(682) *νυμφ. νύμφη λέγω κλαυμάτων καὶ φθορᾶς αἰτία* F.

Παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,
ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
Δίχα δ' ἄλλων μονόφρων εἰμί· τὸ γὰρ δυςσεβὲς ἔργον
μέτα μὲν πλείονα τίκτει σφετέρᾳ δ' εἰκότα γέννᾳ.
Οἴκων γὰρ εὐθυδίκων
καλλίπαις πότμος αἰεί.

---

683. — *'Αντ. κῶλ. ιβ'* F. V.

(683) *παλ. ἐκ παλαιῶν ἀνδρῶν ῥηθείς* F. — *γέρ. παλαιός* F.

(684) *τέτ. κατεσκεύασται, ἤγ. λέγεται* F. — *τελ. γεγονότα* F. — *φωτ. ἀνδρός* F. — *ὄλβ. πλοῦτον* F

685. *μὴδ'* Fl. *μὴ δ'* F. *μηδ'* V. C.

(685) *τεκν. παιδοποιεῖν, συμφορὰς δηλονότι* F. — *θν. ἤγ. παύεσθαι, λήγειν* F.

686. *ἀγαθας* (*η* sup.) *τύχας* (*η* sup.) F.

(686) *ἐκ δ' ἀγ. ἤγ. ἀπὸ τῆς ἄγαν εὐτυχίας εἰς ἐσχάτην ταλαιπωρίαν ἔρχεσθαι* F.

687. *οἰζύν* De P.

(687) *βλ. ἐπιφύειν, ἐπάγειν* F. — *ἀκ. κόρον μὴ ἔχουσαν, πολλήν* F. — *οἴζ. συνίζησις. ταλαιπωρίαν* F.

688. *τὸ δυςσεβὲς γὰρ* De P.

(688) *δίχ. κεχωρισμένος* F. — *μον. ἤγ. οὐχ ὁμοίως τοῖς ἄλλοις περὶ τούτου φρονῶ* F. — *τὸ γάρ. ἤγ. οἱ δυςσεβεῖς καὶ παράνομοι καὶ ἄδικοι* F. Adscr. *ὡραϊσμός·* pariter ad vs. 683.

(689) *μετά. ἤγ. μετὰ πολὺν χρόνον* F. — *τίκτ. τεκνοποιοῦσιν* F. — *σφ. τῇ* F. *ἰδίᾳ* F. — *εἰκ. ὅμοια* F. — *γένν. γενεᾷ, ἤγ. ἑαυτοῖς* F.

(690) *γάρ· δέ* F. — *εὐθ. δικαίως πολιτευομένων* F.

(691) *καλλ. ἀγαθοὺς τίκτουσα παῖδας* F. — *πότμ. εὐτυχία* F. — (683—692): *εἰ καὶ παλαιῶν, φησι, λόγος φάσκει, μέγαν τελεσθέντα ὄλβον παιδοποιεῖν συμφορὰν καὶ ἐξ ἀγαθῆς τύχης βλαστάνειν τῷ γένει ταλαιπωρίαν, ἀλλ' ἐγὼ οὐχ ὁμοίως τούτοις περὶ τούτου φρονῶ, ἀλλὰ μεμονωμένος εἰμὶ κατὰ τὴν φρόνησιν, καὶ κεχωρισμένως τῶν ἄλλων τὰ περὶ τούτου φρονῶ. οὐ γὰρ πᾶς ὄλβος μέγας γενόμενος τοῦτο ποιεῖν εἴωθεν, ἀλλ' οἱ μὲν ἀσεβεῖς καὶ παράνομοι καὶ ἐξ ἀδικίας πλουτήσαντες ὅμοια ἑαυτοῖς ἀποτίκτουσι τέκνα, παρανομίαις καὶ ἀδικίαις καὶ ἁρπαγαῖς χαίροντες, οἱ δὲ δικαίως πολιτευόμενοι καὶ δικαιοσύνῃ χαίροντες καὶ κάλ-*

Φιλεῖ δὲ τίκτειν
ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν.
Τότ' ἢ τόθ', ὅταν τὸ κύριον μόλῃ,
νεαρὰ φάους κότον
δαίμονά τε τὸν ἀπόλεμον ἀνίερον
θράσος μελαίνας μελάθροισιν Ἄτας,
εἰδομέναν τοκεῦσιν.

Δίκα δὲ λάμπει

λιστα τίκτουσι τέκνα καὶ αὐτοῖς ὅμοια, καὶ ἀεὶ εὐτυχίᾳ συζῶσι. τοῦτο δὲ λέγει διά τε τὸν Πάριν καὶ τοὺς Ἀτρείδας· ὁ μὲν γὰρ ὅμοιος γεγονὼς τοῖς γονεῦσιν, ἄδικός τε καὶ ἅρπαξ ἀπόλωλεν, οἱ δὲ δίκαιας χαίροντες ὡς καὶ οἱ τούτων πρόγονοι, εὐτυχοῦσι τε ἀεὶ καὶ τροπαιοῦχοι καθίστανται. Λέγει δὲ ὕβριν μὲν παλαιὰν τὴν τοῦ Πάριδος ἁρπαγήν, ἣν εἰς ὕβριν Μενελάου πεποίηκεν αἰσχύνας τὴν κοινὴν τράπεζαν· νεάζουσαν δὲ ἐν κακοῖς τὴν ἐκ τῆς ἁλώσεως τοῖς Τρωσὶν ἐπελθοῦσαν συμφορὰν καὶ ἀπώλειαν. F. (Ἡμ.)

692. — Στρ. ἑτέρα κῶλ. ι' F. V.

(692) φιλ. εἴωθεν F. — τίκτ. γεννᾷν F.

[692] Christ. pat. 39: φιλεῖ γὰρ ὕβρις ἡ πάλαι τίκτειν νέαν.

(693) ὕβρ. τὴν ἁρπαγὴν λέγει Πάριδος F. — νεάζ. νέαν· λέγει δὲ τὴν ἐκ τῆς ἁλώσεως συμφοράν F. ἀνανεουμένην ἐν κακοῖς F. — ὕβρ. ἐνταῦθα τὸ εἰδομέναν F.

694. Leg. τόθ' ἦμαρ ἣν τὸ—.

(694) τὸ κύρ. τὸ πεπρωμένον, τὸ κεκυρωμένον F. — μόλ. ἔλθῃ F.

695. Leg. νέα φάους σκότον.

(695) νεαρά. γενομένη ἡ ὕβρις F. — φάους. ἐπὶ τῆς ἡμέρας F. — κότ. ὀργήν, φθοράν, λέγω, τίκτει F.

696. τὸν ἄμαχον (om. F.), ἀπόλεμον Fl. V. C.

(696) δαίμ. ἤγ. δυστυχίαν F. — τὸν ἀπόλ. τὸν ἄμαχον· ἀντὶ μιᾶς F. — ἀνίερ. λέγω ἀσεβές F.

697. ἄτας (η sup.) F.

(697) μελ. σκοτεινῆς, ἤγ. ἀμαυρούσης αὐτούς F. — μελ. ἐν F. ἐν οἴκοις F. — ἄτ. βλάβης, φθορᾶς F.

698. εἰδομέναν (η sup.) F.

(698) εἰδ. ἤγ. ὁμοίαν F. — τοκ. τοῖς γονεῦσιν F. τίκτει, φησίν, ἡ παλαιὰ ὕβρις νέαν ὕβριν καὶ κότον καὶ τὸν ἄμαχον δαίμονα· ὅ ἐστι τὸ ἀνίερον καὶ ἀσεβὲς θράσος ἐν τοῖς οἴκοις τῆς Ἄτης. Τοῦτο δὲ λέγει, ὅτι ὁ ὑβριστὴς καὶ θρασὺς ἄταις ἐμπίπτει. F. (Σχ. π.)

699. δίκα (η sup.) F.

μὲν ἐν δυςκάπνοις δώμασιν, τὸν δ' ἐναίσιμον τίει βίον·
τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χερῶν
παλιντρόποις
ὄμμασι λιποῦσ' ὅσια προςέβα τοῦ δύναμιν οὐ
σέβουσα πλούτου παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

---

699. — *'Αντ. κῶλ. ι'* F. V.

(699) *δίκ. ἡ δικαιοσύνη* F. — *λάμπ. ἤγ. ἐν τοῖς πενιχροῖς ἐστὶ τὸ δίκαιον* F.

(700) *δυςκ. πενιχροῖς καὶ εὐτελέσι* F. V. — *δώμ. οἴκοις* F. — *ἐν. τὸν δίκαιον* F. — *τίει. τιμᾷ ἡ δίκη* F.

(701) *τὰ χρ. τὰ κεκαλλωπισμένα ἐν χρυσῷ* F. — *ἐσθλ. ἔνδοξα δώματα* F. — *πίν. ῥύπῳ· ἤγ. σὺν πράξεσι χειρῶν ῥυπαραῖς καὶ ἀδίκοις* F.

702. *παλίντροπ'* F. *παλιντρόποις λιποῦσ'* Schütz.

(702) *παλ. εἰς τοὐπίσω τετραμμένα τῶν ὀμμάτων, ἤγ. παραβλέψασα ἐκεῖνα* F.

703. *προςέβα | τοῦ,* Fl. *προςέβα. τοῦ |* F. *τοῦ* om. H. — *ὄμμασιν ὅσια* Schütz. — 696 sqq. Leg. *δαιμονά τε τὸν ἀπόλεμον*
τἀνίερον θράσος μελαίνας
μελάθροισιν ἄτας,
εἰδομέναν τοκεῦσιν.

ὄμμασιν ὅσια προςέβα
δύναμιν οὐ σέβουσα πλούτου
παράσημον αἴνῳ·
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

(703) *ὅσ. εἰς τὰ δίκαια προςῆλθε, δώματα δηλονότι* F. — *δύν. δύναμιν τοῦ πλούτου, ἤγ. τὸν πλοῦτον* F. — *οὐ σέβ. οὐ τιμῶσα ἐν αἴνῳ, ἤγ. οὐκ ἐπαινοῦσα* F.

(704) *πλ. ἐνταῦθα τὸ τοῦ* F. — *παρ. ἔξω τοῦ δικαίου σεσημασμένον* F. — *αἴν. ἐν* F. *ἐπαίνῳ* F.

(705) *πᾶν. τοιοῦτον* F. — *δ'. γάρ* F. — *ἐπὶ τ. ἐπὶ τέλος ἄξιον αὐτῷ* F. — *νωμ. κινεῖ, ἄγει* F. — (699—705): *ἡ δίκη, φησίν, ἐν μὲν τοῖς οἴκοις τοῖς πενιχροῖς καὶ εὐτελέσι καὶ ἠμαυρωμένοις λάμπει, ἤγ. ἐν τοῖς πενιχροῖς ἀνθρώποις ἀνθεῖ τὸ δίκαιον· τίουσι γὰρ καὶ τιμῶσι τὸν ἐκ δικαιοσύνης βίον. τὰ δὲ κεκοσμημένα ἐν χρυσῷ καὶ κεκαλλωπισμένα ἔνδοξα καὶ πλούσια δώματα σὺν πίνῳ καὶ ῥύπῳ χειρῶν, ἤγ. τὰ πλουτοῦντα ἐν πράξεσι καὶ ἐνεργείαις χειρῶν ῥυπαρῶν καὶ ἀδίκων καὶ ἁρπακτῶν λιποῦσα ἡ δίκη παλίντροπα τοῖς ὄμμασι, τουτέστιν εἰς τοὐπίσω τῶν ὀμμάτων τετραμμένα, ἤγ. παραβλέψασα ταῦτα, εἰς τὰ ὅσια προσέρχεται δώματα,*

Ἄγε δή, βασιλεῦ, Τροίας πολίπορθ',
Ἀτρέως γένεθλον, πῶς σε προςείπω,
πῶς σε σεβίξω, μήθ' ὑπεράρας
μήθ' ὑποκάμψας καιρὸν χάριτος;
Πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι, δίκην παραβάντες.
Τῷ δυςπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος, δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προςικνεῖται·

οὐ τιμῶσα ἐν αἴνῳ, ἤτοι οὐκ ἐπαινοῦσα, δύναμιν πλούτου, τουτέστι πλοῦτον, παράσημον καὶ παράδοξον καὶ ἔξω τοῦ δικαίου σεσημασμένην καὶ ἐπίσημον. πᾶν γὰρ τοιοῦτον, ἤγ. πάντα τοιοῦτον πλοῦτον, μὴ ἐκ δικαίων συνηγμένον, ἐπὶ τέλος ἄγει ἄξιον αὐτῷ. F. (Ἡμ.).

706. — Σύστημα ἐπιφθεγματικὸν κώλων (ἀναπαιστικῶν add. V.) κζ'. F. V. — Σύστημα ἐπιφθεγματικὸν μετὰ τὰς στροφὰς καὶ ἀντιστροφὰς εἰς δύο περιόδους διῃρημένον κώλων ἀναπαιστικῶν κζ'· ὧν τὸ β, τὸ ε̄ καὶ τὸ κ'ᾱ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἐν ταῖς ἀποθέσεσι τῶν περιόδων καταληκτικά, ἤτοι ἑφθημιμερῆ. Ἐπὶ τῇ ἀποθέσει τῆς πρώτης περιόδου παράγραφος· ἐπὶ δὲ τῆς δευτέρας κορωνὶς ὑποχωρήσαντος τοῦ χοροῦ F. (Ἡμ.)

(706) βασ. ὦ F. — πολ. ἤγ. ὁ πορθήσας τὴν Τροίαν F.

(707) γέν. γέννημα, τέκνον F. — πρ. ἀσπάσομαι F.

(708) σεβ. τιμήσω F. — μήθ'. ἤγ. μήτε ὑπερβάλλοντι ἐπαίνῳ μήτε ταπεινῷ χρησάμενος F.

(709) χάρ. τῆς κατὰ χάριν γενομένης προςρήσεως F.

(710) δέ. γάρ F. — τὸ δοκ. εἶν. τοῦ ἀληθῶς εἶναι F. Adscr. ὡραϊσμός.

(711) προτ. προτιμῶσι F. πολλοί, φησί, τοῦ ἀληθῶς εἶναι τὸ δοκεῖν εἶναι προτιμῶσιν. ὅ ἐστιν οὐ τὸν φύσει ἀγαθὸν τιμῶσιν, ἀλλὰ τὸν δοκοῦντα F. (Σχ. π.). — δίκ. τὸ δίκαιον· οὐ γὰρ οὕτω χρὴ ποιεῖν F.

(712) τῷ δυςπρ. τῷ δυςτυχοῦντι F. — ἐπ. συλλυπεῖσθαι F.

[712] Stob. CXII: ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσιν. — § 12. Αἰσχύλου Ἀγαμέμνονος· τῷ δυςπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προςικνεῖται· καὶ νυκτὶ δὲ χαίρουσι ὁμοιοπρεπεῖς, ἀγέλαστα πρόςωπα βιαζόμενοι.

(713) ἕτ. πρόχειρος F. — δῆγμ. ἤγ. οὐ δάκνει τοῦτον ἡ λύπη ἐν τῇ ψυχῇ F.

(714) ἐφ' ἧπ. ἤγ. ἐπὶ τῇ ψυχῇ F. — προςεφικν. ἐπέρχεται F.

καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόςωπα βιαζόμενοι.
Ὅςτις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς,
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
Σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ' — οὐ γὰρ ἐπικεύσω —
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων

---

715. *καὶ νυκτὶ δὲ.* Cf. [712].

(715) *καί. εἰσὶ δηλονότι* F. — *ξυγχ. τοῖς* F. — *ὁμ. ἤγ. ὅμοιοι τοῖς χαίρουσιν εἶναι σχηματιζόμενοι* F.

[715] Bekk. *Anecd. Gr.* p. 336, 29: *ἀγέλας πόνων Εὐριπίδης εἶπεν, ἀνδρῶν δὲ ἀγέλας Πλάτων· ἀγέλαστα δὲ πρόςωπα Αἰσχύλος.* — H. p. 432 putat, Grammaticum legisse *ἀγέλας* (i. e. *ἀγέλης*) *τὰ πρ.*

(716) *ἀγ. ἤγ. σκυθρωπὰ ἔχειν τὰ πρόςωπα προςποιούμενοι* F.

(717) *ἀγ. ἐστὶν* F. — *πρ. ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην* F. V. *ἢ ἐρευνητὴς γνωμῶν ἁπλῶν* F.

(718) *λαθ. ἐκεῖνον* F. — *φωτ. τινὸς ἀνδρός* F.

(719) *εὔφρ. ἀπὸ φρονίμου καὶ ποικίλης καὶ οἰκονομικῆς* F.

(720) *ὑδ. μεμιγμένῃ καὶ οὐ καθαρᾷ καὶ ἀκράτῳ* F. V. — *σαίν. κολακεύειν, ἀπατᾶν* F. — *φιλ. φιλίᾳ* F. — (717 sqq.): *ὅστις δέ, φησιν, ἐστὶν ἀγαθὸς καὶ ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην, ἢ ἀγαθὸς καὶ ἐπιτήδειος ἐξεταστὴς δηλονότι γνωμῶν ἁπλῶν καὶ ἀπεριέργων καὶ οὐκ ἐπιπλάστων, οὐκ ἔστι λαθεῖν ἐκεῖνον ὄμματα ἀνδρὸς τινὸς τὰ δοκοῦντα ἀπὸ φρονίμου καὶ ποικίλης καὶ οἰκονομικῆς διανοίας κολακεύειν καὶ ἀπατᾶν τοὺς φίλους ἐν φιλίᾳ κεκαπηλευμένῃ καὶ δολερᾷ, τουτέστι οὐ λανθάνει ἐκεῖνον τὶς* (l. *ὅςτις*) *οὐ καθαρὰν καὶ ἄκρατον ἔχει φιλίαν, ἀλλ' ἀπατᾷ τοὺς φίλους προςποιούμενος ὑπὸ ποικίλης καὶ περιέργου γνώσεως ἀληθὴς εἶναι φίλος. Ὄμματα δὲ φωτὸς εἶπεν, ἐπεὶ ἐξ ὀμμάτων εἰώθασί τινες τεκμαίρεσθαι τοὺς ἁπλοῦς καὶ ποικίλους καὶ τοὺς ἄλλως πῶς διακειμένους* F. (*Ἡμ.*)

(721) *στ. κοσμῶν, ἢ πλεῦσαι κατασκευάζων* F.

722. *οὐ γάρ σ' ἐπικεύσω* Musgr. Butl.

(722) *ἐπ. κρύψω ὅπερ βούλομαι εἰπεῖν* F.

(723) *κάρτ'. λίαν* F. — *ἀπ. ἔξω ῥυθμοῦ, ἤτοι γνώσεως καὶ τέχνης ἐπιστημονικῆς* F. — *ἦσθα. ὑπῆρχες* F. — *γεγρ. ἐζωγραφημένος* F.

(724) *εὖ. καλῶς* F. — *πρ. φρονήσεως* F. — *νέμ. κινῶν, διεξάγων* F.

θάρσος ἑκούσιον
ἀνδράσι θνήσκουσι κομίζων·
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως·
εὔφρων πόνος εὖ τελέσασιν.
Γνώσῃ δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

Ἀγ. Πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους

---

725. θάρσος F. (corr. videtur ex θράσος).

(725) θάρσ. ἤγ. παραθαρρύνων τοὺς Ἕλληνας εἰς ἑκούσιον θάνατον F.

(726) εὖ θνήσκ. ἤτοι προθύμοις οὖσι πρὸς τὸ ἀποθνήσκειν F.

(727) οὐκ ἀπ'. ἀλλ' ἐκ βάθους F. — ἀφ. ἄνευ τῆς περὶ τὴν Ἑλένην φιλίας F.

728. εὔφρων πόνος F.

(728) εὔφρ. φρόνιμος F. — πόν. ἐστὶν ὑμῖν F. — εὖ τελ. καλῶς τὸ πρᾶγμα τετελεκόσιν F. — (723 sqq.): ἀπὸ μεταφορᾶς τῶν ἀτέχνως καὶ ἀναρμόστως κατασκευαζομένων καὶ γεγραμμένων εἰκόνων, καὶ τοῦτον (l. τοῦτο) ἀμούσως ἦσθα γεγραμμένος εἴρηκε, μονονουχὶ λέγων αὐτῷ· ὡς ἀμέτοχος ἦσθα γνώσεως καὶ οὐ καλῶς διοικῶν καὶ διεξάγων τοὺς οἴακας τοῦ λογισμοῦ, ὅτε στρατιὰν τοσαύτην διὰ γυναῖκα κεκίνηκας· νῦν δ' ἐπεὶ καλῶς ὑμῖν τυγχάνει τετελεσμένα τὰ πράγματα, εὔφρων τίς ἐστιν ὁ πόνος, ἤγ. καλῶς καὶ φρονίμως δοκεῖτε πονῆσαι καὶ οὐκ ἀπ' ἄκρας φρενὸς ἀλλ' ἐκ βάθους, οὐδ' ἀφίλως, τουτέστιν οὐδ' ἄνευ φιλίας τῆς περὶ ταῦτα ἢ τὴν Ἑλένην F. (Ἡμ.)

(729) γνώσ. κατανοήσεις F. — χρ. ἐν F. διὰ χρόνου F. — διαπ. καταμανθάνων F.

730. τόντε Fl. (corr. ex τότε).

(730) δικ. καλῶς καὶ ὡς ἀπῄτει τὸ δίκαιον F. — τὸν ἀκ. τὸν ἔξω τοῦ πρέποντος καιροῦ F.

(731) πόλ. τὴν σὴν F. — οἰκ. οἰκοῦντα, φυλάσσοντα F.

732. — Εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξε', ὧν τελευταῖος· μέλοι δέ τισοι τῶνπερ ἂν μέλλῃς τελεῖν. V. — Αἱ περίοδοι αὗται αἱ συστηματικαὶ στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρ'ξε', ὧν τελευταῖος μέλοι δέ τοι — μέλλῃς τελεῖν. Ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης περιόδου παράγραφος· ἐπὶ δὲ τῷ τέλει πασῶν κορωνὶς ὑποχωρούντων τῶν ὑποκριτῶν. F. (Ἡμ.)

(732) Ἄργ. τὸ F. — ἐγχ. τοὺς ἐνταῦθα τιμωμένους F.

δίκη προςειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου· δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
Ἐλπὶς προςῄει χειρὸς οὐ πληρουμένῳ.
Καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι, συνθνήσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
Τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν

---

(733) δίκ. δίκαιον F. — πρ. ἀσπάσασθαι F. — μετ. αἰτίους, προξένους F.

(734) νόστ. τῆς ὑποστροφῆς F. — θ'. καί F. — ἐπρ. ἀπήτησα, ἤγ. τῆς τιμωρίας ἣν ἐτιμωρησάμην αὐτήν F.

(735) δίκ. τὰς ἐν Ἰλίῳ γενομένας κρίσεις ἡμῶν F. — γλ. ἡμῶν F.

(736) κλ. ἀκούοντες F. οὐκ ἀφ' ἡμῶν ἀκούσαντες τὰς δικαιολογίας, ἀλλ' ἑωρακότες τὰ πεπραγμένα F. (Σχ. π.) — ἀνδρ. ἀνδροφθόρους F. — φθ. πολέμους F.

(737) αἱμ. ᾑματωμένον διὰ τοὺς φόνους F. — τεῦχ. ἀγγεῖον F. — οὐ διχ. οὐκ ἀμφιβόλους ἀλλ' εἰς ἓν μέρος τὴν ἧτταν φερούσας F.

(738) ἔθ. ἐνέβαλον F. ταῦτα ἀπὸ μεταφορᾶς τῶν ἐν δικαστηρίοις τιθεμένων δύο κάδων εἴρηται, ὧν ὁ εἷς τὴν ἀπολύουσαν ψῆφον, ὁ δὲ τὴν καταδικάζουσαν ἐδέχετο F. (Σχ. π.). — τῷ δ'. τῷ τῆς νίκης F. — κύτ. τεύχει F.

739. Leg. κληρουμένῳ.

(739) πρ. προςῆλθε F. — χειρ. πεμπούσης τὴν ψῆφον F. — οὐ πλ. ἀλλὰ κενῷ ὄντι F. εἰς μὲν τὸ ἕν, φησι, τεῦχος ἐνέβαλον οἱ θεοὶ φθορᾶς ψήφους καὶ ἀπωλείας, τὸ δὲ ἕτερον τεῦχος, οὐ πλῆρες ὂν ἀλλ' ἔτι κενὸν, ἐλπίδα εἶχε χειρὸς, πεμπούσης ψῆφον δηλονότι, ἤγ. ἤλπιζέ ποτε καὶ αὐτὸ πληρωθήσεται (f. πληρωθήσεσθαι) ὑπὸ ψήφων. Εἴασε δὲ τὸν λόγον ἀτελῆ· οὐ γὰρ εἶπεν· εἰ ἐπλήρωσαν καὶ αὐτὸ ψήφων. Τοῦτο δὲ πεποίηκεν, ἐπεὶ δῆλον γέγονε τίνες τὴν νικῶσαν ψῆφον ἐδέξαντο. F. (Ἡμ.)

(740) καπν. ἐν F. — δ' ἁλ. ἁλοῦσα δὲ ἡ πόλις F. — εὔσ. ἐπίσημος τῷ καπνῷ F.

(741) ἄτ. τῆς φθορᾶς αἱ πνοαὶ ἔτι διαμένουσι καὶ οὐκ ἔληξαν F.

(742) σπ. ἤγ. ἡ πόλις νεκρωθεῖσα καὶ σποδὸς γενομένη προέπεμψε καὶ ἀνέδωκεν ἡμῖν πολλοὺς θησαυρούς F.

(743) πολ. ἀείμνηστον F.

τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκότους
ἐπραξάμεσθα καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσός, ἀσπιδοστρόφος λεώς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
Θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα — μέμνημαι κλύων —

---

(744) *τίν.* διδόναι F. — *πάγ.* τὰς καθ' ἡμῶν ἐκείνων μηχανὰς καὶ τοὺς δόλους F. δίκτυα, παγίδας. *Καὶ τοῦτο δήπου* (τὸ add. Suid.) *τοῦ Αἰσχύλου· τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε* V. Suid. v. πάγας. Cff. Athen. XI, 12 p. 494b. Aesch. fr. 145 H. 42 Did. (ad vs. 780). — *ὑπ.* ὀργίλους F.

(745) *ἐπρ.* ἀπητήσαμεν, ἤτοι καθείλομεν F.

(746) *διημ.* ἠφάνισεν F. — *Ἀργ.* ἤτοι οἱ Ἀργεῖοι F. — *δάκ.* τὸ θήριον F.

(747) *νεοσσ.* ὁ νέος λαός F. — *ἀσπιδοστρόφος·* ὁ ὁπλιτικός· ἀπὸ μέρους F.

(748) *πήδ.* ἐνταῦθα τὸ ἵππου F. — *ὀρ.* ὁρμήσας, πηδήσας δίκην ἵππου F. — *ἀμφὶ Πλ.* ἤγ. κατὰ τὸ μετόπωρον F. ὅτι Πλειάδων ἑῴα ἐπιτολὴ γίνεται τοῦ ἡλίου διελθόντος τὸν ταῦρον (οὗ μέρος εἰσὶν αὗται· οὐρὰν γὰρ τούτου ταύτας εἶναι φασί) καὶ τοὺς διδύμους περιπολοῦντος, ἤτοι κατὰ τὴν τοῦ θέρους ἀρχήν. δύσις δ' ἑῴα τοῦ ἡλίου τὸν ζυγὸν ἤδη διερχομένου· τότε γὰρ κατὰ διάμετρον οὖσαι ἑῴαν ποιοῦνται δύσιν, ἤτοι κατὰ τὰς τοῦ μετοπώρου ἀρχάς· τότε γάρ, ὥς φασι, τὸν πλοῦν Ἕλληνες ἐποιήσαντο F. (Ἡμ.)

(749) *ὑπ.* ὑπεραναβάς F. — *πύργ.* τὴν πόλιν F. — *ὠμ.* ὠμοφάγος F. — *λέων·* ἤγ. ὥσπερ F. ἤγ. ὥσπερ λέων ὠμοφάγος V.

(750) *ἄδδην·* δαψιλῶς F. — *ἔλ.* ἐλάφυξεν, ἔπινεν F. — *τυρ.* βασιλικοῦ καὶ πάντων ἀπὸ τοῦ ὑπερέχοντος F.

(751) *ἐξ.* μακρὸν ἐποιησάμην F. — *φρ.* τὸ προοίμιον τῆς εὐχαριστίας F.

[751] Athen. XIII, p. 573b: *καταλέξω δέ σοι, Κύνουλκε, Ἰωνικήν τινα ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλου* (*Ἀγαμέμνονα*) *περὶ ἑταίρων.* — Meineke *Philol. Exerc.* II p. 29 suppl. *Ἀγ.* Cff. H. I p. 412. II p. 435. Aesch. fr. 357 Did.

(752) *τὰ δ'.* ὄντα δηλονότι F. — *ἐς.* εἰς τὴν σὴν γνῶσιν, τὸ γνῶναι δηλονότι τὴν τῶν πολιτῶν γνώμην F.

καὶ φημὶ ταῦτα καὶ συνήγορόν μ' ἔχεις.
Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνων σέβειν·
δύςφρων γὰρ ἰὸς καρδίαν προςήμενος
ἄχθος διπλοίζει τῷ πεπαμμένῳ νόσον,
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται,
καὶ τὸν θυραῖον ὄλβον εἰςορῶν στένει.
Εἰδὼς λέγοιμ' ἄν, — εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον — εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
Μόνος δ' Ὀδυσσεύς, ὅςπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·

---

(753) *ταῦτα.* οὕτως ἔχειν ὡς λέγεις F. — *συν.* συνομολογοῦντα, ὅτι οἱ μὲν δικαίως ᾤκουν, οἱ δὲ ἀκαίρως F.

754. *ψόγου·* cf. [754].

(754) *παύρ.* ὀλίγοις F. — *συγγ.* οἰκεῖον F. Adscr. *γνώμη.*

[754] Stob. XXXVIII περὶ φθόνου. — § 28. *Αἰσχύλου· παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε, φίλον τὸν εὐτυχοῦντ' ἄνευ ψόγου σέβειν.* — Sophocli idem tribuisse dicitur Arsenius (*Violeto?*)

(755) *ἄν.* χωρίς F. — *σέβ.* τιμᾶν, ἔχειν F.

(756) *δύςφρ.* κακόφρων F. — *ἰός.* ἤγ. ὁ φθόνος F. — *καρδ.* τοῦ φθονεροῦ F. — *πρ.* προςκαθημένος F.

757. *πεπαμένῳ* Pors. — *νόσου* Aur.

(757) *ἄχθ.* βάρος F. — *διπλ.* διπλοῦν ποιεῖ F. — *τῷ πεπ.* τῷ κεκτημένῳ F. — *νόσ.* λέγω F.

758. *πήμασιν* Fl.

(758) *πήμ.* ἤτοι τῷ φθόνῳ F. — *βαρ.* δαμάζεται F.

(759) *τὸν θυρ.* τὸν ξένον, τὸν τοῦ εὐτυχοῦντος F. — *ὄλβ.* πλοῦτον, τὴν εὐδαιμονίαν F. — *στ.* στενάζει F.

(760) *εἰδ.* γινώσκων ἀκριβῶς τὰ περὶ τούτου F. — *εὖ.* καλῶς γινώσκω F.

(761) *ὁμ.* ἤτοι τὸ δίκην κατόπτρου τὰς ὁμιλίας διακρίνειν F. — *εἰδ. σκ.* ἤτοι ἀνυπάρκτου ἀνυπαρκτότερον F.

(762) *κάρτα.* λίαν F. — *πρ.* ἤγ. φίλους εὐμενῶς διακειμένους F.

(763) *ὅςπ.* ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης F. V.

(764) *ἕτ.* πρόχειρος F. — *σειρ.* ἤγ. δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων F. V. — (760 sqq.): καλῶς, φησιν, ἐπίσταμαι το κάτοπτρον τῆς ὁμιλίας, ἤγ. καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προςώπων τὸ κάτοπτρον (ἤγ. — κάτ. V. adscr. ad vs. 760).

εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω· τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεούς,
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει,
βουλευσόμεσθα, καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες, εὐφρόνως
πειρασόμεσθα πήματος, τρέψαι νόσον.
Νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν·
νίκη δ' ἐπείπερ ἕσπετ' ἐμπέδως μένοι.
Κλ. Ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους

ὥστε τοὺς ἄλλους μὲν τοὺς δοκοῦντας λίαν εἶναι πρευμενεῖς ἐμοί, ἔγνων εἴδωλον σκιᾶς, τουτέστιν ἀνυποστάτους καὶ οὐδὲν ὄντας, ὡς οὐδὲ τὸ τῆς σκιᾶς εἴδωλον, μόνον δὲ τὸν Ὀδυσσέα φίλον ἀληθῆ καὶ σὺν ἐμοὶ προθύμως τὸ τῆς ἀρχῆς ἅρμα ἐλαύνοντα F. (Ἡμ.)

(767) ἐν παν. ὡς ἐνορτη F. (l. ἐν ἑορτῇ).

(768) Adscr. in F. ὡραϊσμός.

(769) χρ. ἤγ. καὶ εἰς τὸν ἑξῆς χρόνον F.

(770) φαρμ. θεραπευμάτων F. — παιων. θεραπευτικῶν F.

(771) κέαντ. καύσαντες F. — τεμ. ἐν ξυρῷ F. — εὐφρ. ἐντέχνως· φρονήσεως γὰρ ταῦτα δεῖται F. ἐκ μεταφορᾶς τῶν ἰατρῶν τοῦτ' εἴρηκε τῶν διὰ φαρμάκων ἰωμένων τὰς νόσους καὶ διὰ καύσεως ἢ τομῆς τῆς διὰ ξυρῶν, τὰ σεσηπότα τῶν μελῶν τῶν νοσούντων καθαίροντας (l. καθαιρόντων) καὶ τὰ τραύματα θεραπεύοντας (l. θεραπευόντων). F. (Ἡμ.)

(772) πήμ. ἤτοι σωφρονῆσαι τοὺς ἐν πόλει λυμεῶνας, ἤγ. ἰάσασθαι F.

(773) δόμ. ἐφ. τοὺς κατοικουμένους, οὐ τοὺς ἀοίκους F.

(774) δεξ. θύσω, φιλοφρονήσομαι F.

(775) πρ. ἤγ. ἔμπροσθεν, τουτέστιν εἰς Ἴλιον F. — πάλ. εἰς τοὐπίσω F.

(776) ἕσπ. ἠκολούθησεν ἡμῖν F. — ἐμπ. βεβαίως, ἀσφαλῶς F.

(777) ἄνδρ. ὦ F. — πρ. τίμιον πρᾶγμα, ἤγ. τίμιοι ἄνδρες F.

(778) οὐκ αἰσχ. ἤγ. οὐκ αἰδεσθήσομαι F. — φιλ. ἤγ. ὅτι ἐφίλουν ἀπόντα τὸν ἄνδρα F.

λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν· οὐκ ἄλλων πάρα
μαθοῦσ', ἐμαυτῆς δύςφορον λέξω βίον
τοσόνδ', ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ.
Τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακόν,
πολλὰς κλύουσαν ἡδονὰς παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπειςφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
Καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανει
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν·
εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυνον λόγοι,

---

(779) *ἐν χρ. ἤγ. ἡ συνήθεια ἡ διὰ πολλῶν χρόνων γενομένη ἐκβάλλει τὸν φόβον ἀπὸ τῶν ἀνθρώπων καὶ τὴν αἰδώ* (sic), *καὶ οὐκέτι αἰδοῦνται ἀλλήλους οἱ ἐν συνηθείᾳ γενόμενοι, ἀλλ' ἀναισχύντως καὶ ἀνερυθριάστως καὶ τὰ μυστήρια τούτων ἀλλήλοις ἐκφαίνουσιν* F. (*Ἡμ.*) — *δ'. γάρ* F. — *ἀποφθ. φθείρεται* F. Adscr. *γνώμη.*

(780) *τὸ τάρβ. ὁ φόβος* F.

(781) *δύςφ. τὸν πολλὰ δυςχερῆ μοι φέροντα* F. — *βίον. τὴν ζωήν, τὸν χρόνον* F.

(782) *τοσ. ἣν ἔζησα ζωὴν ὅσον χρόνον οὗτος ἀπεδήμει εἰς Ἴλιον* F.

(783) *ἄρσ. ἀνδρὸς χωρίς* F. Adscr. *σημειωτέον.*

784. *ἔκπαγγλον* F.

(784) *ἧσθ. καθῆσθαι* F. — *δόμ. ἐν* F. — *ἔκπ. ἐμπληκτικόν* F.

(785) *κλ. ἀκούουσαν* F. — *παλ. ἤγ. ὕστερον φερούσας λύπην· ἀπὸ μεταφορᾶς τῶν ἐγκοτούντων* F.

(786) *ἥκ. ἔρχεσθαι, φέροντα ἡδονὴν δηλονότι* F. — *κακ. ἐν τοῖς δόμοις* F.

(787) *πῆμα. συμφοράν* F. — *λάσκ. λέγοντας* F. — *δόμ. ἐν* F.

(788) *τρ. ἤγ. εἰ τραύματα τοσαῦτα ἐλάμβανεν* F.

789. *ἄνηρ* H.

(789) *ἀν. ἤγ. ὁ Ἀγαμέμνων* F. — *ὠχ. ἤγ. ἐφέρετο· ἐκ μεταφορᾶς τῶν ὀχετῶν* F.

790. *φάτις* Fl.

(790) *φάτ. φήμη* F. — *πλ. πλειόνως* F. — *λέγ. ἤγ. ὡς ἔστι λέγειν* F.

(791) *ἐπλ. ἤγ. ὡς οἱ πλείονες ἔλεγον λόγοι* F.

τρισώματός τ' ἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω,
χθονὸς τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
Τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
'Εκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων,
ὡς χρῆν, 'Ορέστης· μηδὲ θαυμάσῃς τόδε·

---

792. τἄν Weil.

(792) τρισ. Adscr. in F. σημειωτέον.

(793) ἄν. ἄνωθεν γὰρ ἐπιχεῖται ἡ κόνις F. — οὐ λέγω. ἔχει γὰρ καὶ κάτωθεν γῆν F.

(794) τρίμ. τριπλοῦν F. — χλ. τὴν περιστέλλουσαν κόνιν F. — ἐξ. ἐκαλλωπίζετο, ἐσεμνύνετο F. — (786 sqq.): Ὡς ἔοικεν ἧκον τινὲς ἀγγέλλοντες τρὶς ἀποθανεῖν 'Αγαμέμνονα· καὶ διὰ τοῦτο παρεικάζει τοῦτον τῷ Γηρυόνῃ, καὶ τρισώματον λέγει, οὐ τρικέφαλον. ἐκεῖνος γὰρ ἅπαξ ἀπέθανεν μιᾷ πληγῇ τὰς κεφαλὰς ἀφαιρεθείς, οὗτος δὲ τρισώματος ὢν καὶ τρὶς ἀπέθανεν, ἑκάστῳ μορφώματι ἅπαξ ἀποθανών, ὥς φησι, καὶ τριπλῆν τὴν περιστέλλουσαν κόνιν δεξάμενος ἄνωθεν. 'Επεὶ δὲ τριπλῆν ἔφη τὴν ἐκ τῆς ταφῆς κόνιν δέξασθαι, διὰ τοῦτο καὶ τὸ ἐξηύχει τέθεικε· τοιούτων γάρ τις τυχών, εἰκότως σεμνύνοιτ' ἄν. Ὅρα δὲ πῶς τὸν λόγον πρὸς τὸ χάριεν ἐσχημάτισεν· οὐ γὰρ οἷόν τε τὸν τεθνηκότα αὐχεῖν καὶ σεμνύνεσθαι. F. (Ἡμ.)

(795) ἅπ. μίαν F, — κατθ. ἀποθανὼν F.

(796) ἕκ. χάριν F. — κλ. μηνυμάτων F. — παλ. λυπηρῶν F.

(797) ἀρτ. ἤγ. βρόχους, δι' ὧν ἀπεπνίγειν ἂν F. — δέρ. τοῦ τραχήλου F.

798. πρὸς βίαν, F.

(798) λελ. ἤγ. ἤδη περιειλημμένης τῆς δέρης τῇ ἀρτάνῃ F.

(799) ἐκ τῶνδε· ὧν εἶπον F. — παῖς· ὁ 'Ορέστης F. — ἐνθ. ἐνταῦθα F. — οὐ παρ. οὐ πάρεστιν F.

(800) κύρ. ἐκεῖνος γὰρ τὴν ἡμῶν πρὸς ἀλλήλους βεβαιοῖ πίστιν F. — πιστ. εἰ μὴ γὰρ πιστεύσωσιν ἀλλήλοις οἱ γονεῖς, οὐχ ὁμολογοῦσιν ἑαυτῶν εἶναι τὸν παῖδα F. (Σχ. π.).

801. μὴδὲ Fl. μὴ δὲ F. μηδὲ V. C.

(801) ὡς χρ. ὡς ἦν πρέπον, ἵνα μή τι πάθῃ κακὸν ἀποπνιγείσης ἐμοῦ διὰ τὸ τῆς ἡλικίας ἄωρον F. — μὴ δὲ θαυμ. ὅτι ἔκ τινος δόλου γέγονεν F.

τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥςτε σύγγονον
βροτοῖσι, τὸν πεσόντα λακτίσαι πλέον.
Τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει·
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών·
ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω,
τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν· ἐν δ' ὀνείρασιν
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωΰσσοντος, ἀμφί σοι πάθη

---

(802) τρ. ἐκτρέφει F. — εὐμ. εὐνοϊκῶς πρὸς ἡμᾶς διακείμενος, φίλος F.

(803) ὁ Φωκ. ὁ εἰς Φώκην οἰκῶν F. — ἀμφ. τὰ ποτὲ μὲν ζῶντα, ποτὲ δὲ τεθνηκότα σε μηνύοντα F. τὰ ἀμφιβαλλόμενα περὶ σοῦ πήματα, ἤτοι τὰ ὑπὸ τοῦ δήμου κατὰ σοῦ πεπλασμένα δεινὰ μηνύματα F. (Σχ. π.)

(804) πρ. γνωρίζων, προμηνύων F. — τόν τ'. Ἰωνικόν F. — σέθ. σοῦ F.

(805) κινδ. τὸν σὸν θάνατον F. — δημ. ὁ θορυβοποιός F.

(806) βουλ. ἐπιβουλήν F. — κατ. καὶ εἰ καταρρίψειε καὶ ἐπάξει (l. ἐπάξειε) ἐμοὶ ἐπιβουλὴν ὁ δῆμος F. — σύγγ. συγγενές ἐστι καὶ φίλον F.

(807) βρ. τοῖς ἀνθρώποις F. — λακτ. καθυβρίσαι, τῷ ποδὶ ἐπιβῆναι F. πεφύκασί πως, φησὶν, οἱ ἄνθρωποι ἐπεμβαίνειν τοῖς ἀτυχοῦσιν F. (Σχ. π.)

(808) τοιάδε. ἡ F. ἡ κατὰ τὸν Ὀρέστην F. — σκ. πρόφασις, οἰκονομία F. — οὐ. οὐκ ἔστι δολερά F.

(809) κλ. θρήνων, δακρύων F. — ἐπ. αἱ ἐπερχόμεναι F.

(810) πηγ. κατ. ἤγ. οὐκ ἐθρήνουν ἐν ἡμέρᾳ F. — οὐδ'. ἤγ. οὐκ ἦν ἐμοί F. — στ. δακρύων F.

(811) ὀψ. τοῖς βραδέως κοιταζομένοις F. — βλ. ἤτοι κλαυθμούς F. — ἔχ. ἀντὶ τοῦ εἶχον F.

812. ἀμφὶ σοὶ Fl. F. ἀμφί σοι V. C.

(812) ἤγ. τοὺς περιεστῶτας σε κατὰ τὰς νύκτας λαμπαδούχους ὁρῶσα ἠμελημένους ἐθρήνουν ἀεί F. — κλ. αἰέν F.

(813) ἀτ. ἠμελημένας F.

(814) ὑπ. ὑπό F.

815. ἀμφὶ σοὶ Fl. F. ἀμφί σοι V. C.

ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
Νῦν, ταῦτα πάντα τλᾶσ', ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰςιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος·
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
Τοιοῖςδέ τοίνυν ἀξιῶ προςφθέγμασιν·
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακά

---

(815) ῥιπ. τῶν πτερύγων κινήσεσι F. — θωῦσσ. βομβοῦντος F. — ἀμφὶ σοί. περὶ σοῦ F. — πάθ. παθήματα, θλίψεις F.

(816) πλ. πλείονα F. — τοῦ ξυν. ἤτοι τοῦ χρόνου ὃν ἐκάθευδον F.

817 sqq. φρενί, λέγοιμ' ἄν. ἄνδρα τόνδε, τῶν σταθμῶν κύνα σωτῆρα ναός. πρότονον ὑψηλῆς στέγης. στόλον ποδήρη. Fl.

(817) τλ. ὑπομείνασα F. — ἀπ. ληξάσῃ τοῦ πένθους F.

(818) λέγ. ἐνταῦθα τὸ νῦν F. — τόνδε. τὸν Ἀγαμέμνονα F. — στ. ἐπαύλεων F. Adscr. σημειωτέον.

(819) σωτ. φύλακα F. — πρ. σχοινίον, δι' οὗ τείνουσι τὸ ἱστίον F. — ὑψ. μεγάλης οἰκίας F.

(820) ποδ. δίκην ποδὸς ἱστάμενον F. ποδῆρες κυρίως λέγεται τὸ μέχρι ποδῶν διῆκον ἱμάτιον F.

821. καὶ γῆν Fl. F. V. C. — παρ' ἐλπίδα F.

(821) ναυτ. ναύταις F.

(822) ἦμ. ἡμέραν F. — εἰςιδ. ὥςτε ἰδεῖν F. — ἐκ χείμ. ἐκ χειμῶνος F.

(823) ῥέος· ῥεῦμα F.

[823] Suid. πλέκος· τὸ πλέγμα, τὸ πεπλεγμένον σπυρίδιον· ὡς ἀπὸ τοῦ βλέπω βλέπος οὐδετέρως, καὶ ἀπὸ τοῦ ῥέω ῥέος. Αἰσχύλος· ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.

824. Hic vs. inserendus in parenthesi post 817.

(824) τερπν. ἡγ. εὔφραντον ἐστὶ τὸ διαφυγεῖν τινὰ πᾶν τὸ ἐξ ἀνάγκης ἐπελθὸν αὐτῷ δυςχερές F. — δέ. γάρ F.

825. τοί νιν Schütz. Cf. 149. — προςφέγμασιν F.

(825) τοιοῖςδε. τοιούτοις οἵοις εἶπον F. — ἀξ. σέ F. — πρ. ὀνόμασι προςφωνητικοῖς F.

(826) ἀπ. πόρρω γενέσθω F. — κακά. δυςχερῆ F.

ἠνειχόμεσθα· νῦν δ' ἐμοὶ φίλον κάρα
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
Δμωαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
Τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.
Ἀγ. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν — παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
Καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ

---

827. νῦν δέ μοι Scholef.

(827) ἠν. ὑπεμένομεν· σοῦ δὲ φανέντος ἐκείνων ἠλευθερώθημεν F. — φίλ. προςφιλές F. — κάρ. ὦ F.

(828) ἀπ. τοῦ ἅρματος· ἐπὶ ἅρματος γὰρ ὠχεῖτο F.

(829) πορθ. τόν F. ἤτοι τὸν πορθήσαντα τὸ Ἴλιον F.

(830) δμ. ὦ δοῦλαι F. — μέλλ. βραδύνετε F. — ἐπ. προςτέτακται F.

(831) πέδ. τὴν ἐπιφάνειαν τῆς ὁδοῦ F. — στρ. καταστρῶσαι F. — πετ. ἐκτεταμένοις πέπλοις F.

(832) πορφ. πορφυροῖς πέπλοις ἐστρωμένος F. — πόρ. ἡ ὁδός F.

(833) ἄελπτ. οὐ γὰρ ἤλπιζεν ὑποστρέψαι F. — ἡγ. νομίζῃ, ἡγ. ὡς ἔστι δίκαιον F.

(834) φρ. ἡ ἡμετέρα μέριμνα F. — οὐχ. ἤγ. οὐ ῥαθυμίᾳ νικηθεῖσα F.

(835) θήσ. ποιήσει F. — δικ. ἐπεὶ καὶ αὐτὸς τὴν ἐμὴν ἀπέκτεινε θυγατέρα F. — εἱμ. οὕτω πεπρωμένα παρὰ θεῶν F. ἴσως ἵνα δίκας αὐτὸν ἀπαιτήσῃ, τοῦτο φησὶν ἕνεκα τοῦ φόνου τῆς θυγατρός F. (Σχ. π.)

(836) γέν. ὦ F. τέκνον F.

(837) ἀπ. τῇ ἀποδημίᾳ F. — εἶπ. ταῦτα γενέσθαι σοι F.

(838) ἐξ. τοὺς λόγους F. — ἐν. δικαίως (F.), προςηκόντως Fl. F. V.

(839) αἰν. τινά F. — παρ' ἄλλ. ὅρα τὴν σύνταξιν F. — ἔρχ. τινὶ F. — γέρ. τιμή F. ἀλλὰ χρὴ τοῦτο τὸ γέρας ἔρχεσθαι παρ' ἄλλων, τὸ αἰνεῖσθαι δηλονότι, καὶ μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτῶν F. (Σχ. π.) ὅτι τὸ αἰν. δηλ. μὴ — ἑαυτοῦ πρέπει ἔρχεσθαι V.

(840) μὴ γυν. ἤγ. μὴ ὡς γυνὴ φρονοῦσα ἢ μή, ὡς ἔθος ταῖς γυναιξὶ καλλωπίζεσθαι F.

ἅβρυνε, μηδὲ βαρβάρου φωτὸς δίκην
χαμαιπετὲς βόαμα προςχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖςδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
Λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ·
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀΰτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν

---

841. *ἅβρυνε* F. — *μὴδὲ* Fl. *μὴ δὲ* F. *μηδὲ* V. C.

(841) *ἅβρ. καλλώπιζε* Fl. F. V. — *φωτ. ἀνδρός* F. — *δίκ. τρόπον* F.

842. *βόαμα* Fl. (nihil superscriptum).

(842) *χαμ. διὰ γονυκλισίας γενόμενον προςφώνημα* F. *μὴ ὡς βαρβάρῳ μοι κέλευε θρύπτεσθαι. Οἱ βάρβαροι γὰρ γονυκλισίαις τοὺς βασιλεῖς εὐφημοῦσιν* F. (*Σχ. π.*) V. — *πρ. προςφωνήσῃς* F.

843. *μὴδ'* Fl. *μὴ δ'* F. *μηδ'* V. C.

(843) *εἵμ. πέπλοις* F. — *στρ. ὑποστρώσασα* F. — *ἐπ. ἐπίψογον. μέμψονται γὰρ οἱ φθονοῦντες τὴν ὁδόν* F.

(844) *τίθ. ποίει* F. — *τοῖςδε. τοῖς τοιούτοις εὑρήμασι* F. — *τιμ. τιμᾷν* F. — *χρ. πρέπον* F. Adscr. *σημειωτέον.*

845. *γὰρ* Etym. M. cf. [845].

(845) *ἐν ποικ. ἐν ὑποστρώμασι κεκαλλωπισμένοις* F.

[845] Suid. *κάλλη· τὰ πορφυρᾶ ἱμάτια· καὶ κέραμος καλάϊνος. Αἰσχύλος· ἐν ποικίλοις κάλλεσι.* — Etym. M. p. 486, 48 *κάλλαια·* — *τὰ πορφυρᾶ γὰρ κάλλη ἐκαλοῦντο. Εὔπολις· βάπτειν τὰ κάλλη τὰ περίσεμνα τῇ θεῷ· καὶ Αἰσχύλος· ἐν ποικίλοις γὰρ θνητὸν ὄντα κάλλεσιν.*

(846) *βαίν. πορεύεσθαι* F. — *οὐδ. ἐστίν* F. — *ἄν. φόβ. φοβοῦμαι γὰρ τοὺς θεούς* F.

(847) *κατ' ἄνδρ. ὡς πρέπει τιμᾷν ἄνδρα, μὴ ὡς θεόν* F. — *σέβ. τιμᾷν* F.

(848) *ποδ. δι' ὧν οἱ πόδες δηλονότι καλλωπίζονται* Fl. *δι' ὧν οἱ πόδες λαμπρύνονται. κυρίως δὲ τὰ τοὺς πόδας ἐκμάσσοντα πέπλα οὕτω λέγεται* F. *ἀπὸ μεταφορᾶς τῶν πέπλων, δι' ὧν τοὺς πόδας ἐκμάσσοντες λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συνεχῶς τοῦτ' εἰρήκει* (*τοῦτ' εἰρ.* om. V.). *Ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται· νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκεν.* F. (*Ἡμ.*) V.

(849) *κλ. ἡ φήμη* F. — *ἀΰτ. βοᾷ, τὰ καθ' ἡμῶν δηλονότι* F. — *κακ. ἤτοι τὸ μὴ μέγα φρονεῖν ἐπὶ τούτῳ* F.

θεοῦ μέγιστον δῶρον· ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
Εἰ πάντα δ' ὡς πράσσοιμ' ἂν εὐθαρσὴς ἐγώ.
Κλ. Καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.
'Αγ. Γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.
Κλ. Ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;
'Αγ. Εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
Κλ. Τί δ' ἂν δοκῇ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν;
'Αγ. 'Εν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.
Κλ. Μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον —.

---

(850) ὀλβ. εὐδαιμονίσαι τινά F. — χρή. πρέπει F. Adscr. ὡραϊσμός.

(851) βίον' τὴν ζωὴν F. — τελ. τελέσαντα F. — ἐν εὐεστ. ἐν εὐτυχίᾳ καὶ εὐθυμίᾳ F. — φίλ. προσφιλεῖ F.

852. ἄν, εὐθαρσὴς ἐγὼ Fl. F.

(852) πάντα. κατά F. — ὡς· οὕτως, ἤγ. εὐτυχῶς, ἢ οὕτως ὥςτε μὴ φρονεῖν κακῶς F. — εἰ οὕτω, φησί, πράσσοιμι κατὰ πάντα ὥςτε μὴ μέγα φρονεῖν ἐπὶ ταῖς εὐτυχίαις, μὴ δὲ πρὸ τελευτῆς ἄνθρωπον μακαρίζειν, ἀλλὰ τὸν τὸ τέλος τοῦ βίου δεξάμενον ἐν τῇ εὐτυχίᾳ, εἰκότως ἂν εἴην θαρρῶν ὡς καὶ αὐτὸς ἀεὶ εὐτυχοίην ἄν· οἱ γὰρ μέτρια φρονοῦντες εὖ ἀεὶ πράσσουσιν F. (Σχ. π.)

(853) τόδ'. ὅπερ μέλλω ἐρωτᾷν F. — μή. ἀλλ' ἑκουσίως F.

854. διαφθαροῦντ' Fl.

(854) γν. τὴν γνῶσιν λέγει ἐνταῦθα F. — ἴσθι. γίνωσκε ὅτι οὐ διεφθάρην τὴν γνῶσιν, ἀλλ' ἔτι σώζω αὐτὴν F.

(855) δείσ. φοβηθεὶς μὴ ἀποτύχῃς τῆς νίκης F. — ὧδ'. οὕτως F. — ἔρδ. πράττειν F.

(856) εἴπ. τις. ἐξεῖπον F. — τόδ'. τὸ τέλος F. — τέλ. τὸ τῆς νίκης F.

857. δοκεῖ St.

(857) ἄν. ἐποίησεν F. — τάδ'. τὸ νικῆσαι ὑμᾶς F. — ἤν. ἐπλήρωσεν, εἰς τέλος ἤγαγεν F.

858. δοκει (η supr.) F.

(858) ἐν ποικ. ἐν λίαν ποικιλοῖς F. — κάρτα. λίαν F. — βῆν. ἐπιβῆναι F.

859. μὴ νῦν Fl.

(859) νυν. δή F. καθ' ὁμαλισμὸν ἀναγνωστέον τὸ νυν, καὶ ἄνευ τόνου, ἵν' εἴη (ἵνα ᾖ V.) ἀντὶ τοῦ δή. F. ('Ημ.) V. — τὸν ἀνθρ. τὸν τῶν ἀνθρώπων F. — αἰδεσθῆς. φοβηθεὶς F.

Ἀγ. *Φήμη γε μέντοι δημόθρους μέγα σθένει.*
Κλ. *Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.*
Ἀγ. *Οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.*
Κλ. *Τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.*
Ἀγ. *Ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;*
Κλ. *Πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.*
Ἀγ. *Ἀλλ', εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας*
λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός·
καὶ τοῖςδε μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος·
πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν πόσιν

---

(860) *φήμ. ἤγ. μέγα ἐστὶ τὸ ὑπὸ δήμου ψέγεσθαι* F. — *δημ. ἡ* (om. V.) *ὑπὸ τοῦ δήμου φημιζομένη* F. V. — *ἡ τοῦ δήμου, φησί, φήμη μέγα δύναται, ἤτοι ὅταν φημίζῃ δῆμος τινὰ ἐπὶ κακῷ, κακόν ἐστι μέγιστον καὶ χαλεπὸν φέρει κίνδυνον. Τάδε γὰρ καὶ Ἡσίοδός φησι· φήμη δ' οὔ πάμπαν ἀπόλλυται ἥν πολλοὶ λαοὶ φημίζουσιν* (Opp. 971) F. (*Ἡμ.*) Ex his V. habet: *ὡς καὶ Ἡσ. — ἥντινα — φημίζουσι. — σθ. δύναται* F.

861. *πέλει;* Fl. F.

(861) *ἀφθ. ὁ μὴ ὑπό τινος φθονούμενος* F. — *ἐπίζ. ζηλωτός, μακαριστός* F. — *πέλ. ὑπάρχει* F.

(862) *ἱμ. ἤγ. ἐπιθυμεῖν μάχεσθαι καὶ νικᾶν* F.

(863) *ὀλβ. τοῖς εὐδαίμοσι καὶ ἐνδόξοις* F. — *νικ. ὥςτε καὶ σοὶ πρέπει ἡττηθῆναι ἐμοῦ* F. Adscr. *ὡραϊσμός.*

(864) *ἦ: ἆρα* F. — *νίκ. ἤγ. τὴν διὰ φιλονεικίας μάχην* F. — *δήρ. μάχης* F. — *τίεις. τιμᾷς* F.

(865) *κρ. ἤγ. τὸ κρατῆσαι νῦν σου* F. — *πάρ. ἄφες, δός* F.

(866) *δοκ. ἀρέσκει* F. — *ταῦθ'. τὸ ἡττηθῆναι με* F. — *ὑπ. ὑπολύοι, ἀντὶ τοῦ ὑπολυσάτω* F. — *ἀρβ. τὰ ὑποδήματα* F.

(867) *λύοι. τάχ. λέγω* F. — *τάχος πρ. ἤγ. ταχυτὴς τῶν προτέρων δούλων* F. — *ἐμβ. τὰς ἐμβάδας* F.

868. *καὶ τοῖς δὲ μ'* Fl. *σὺν τοῖςδε μ'* F.

(868) *τοῖςδε. τοῖς ὑποδήμασιν* F. — *ἐμβ. περιπατοῦντα* F. — *ἁλ. πορφυροῖς* F.

(869) *πρ. πόρρωθεν* F. — *ὀμμ. ἤγ. μή τις τῶν θεῶν ἰδὼν βλάψῃ με ὑπὸ φθόνου* F.

870. *ποσὶν* Scal.

(870) *αἰδ. αἰσχύνει* (sic; *dedecori est*) F. — *σωμ. τὰ σώματα φθείρειν τῶν ὑπὸ χεῖρα* F. — *πόσ. ἄνδρα ἁπλῶς* F.

φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
Τούτων μὲν οὕτω· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐςκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προςδέρκεται·
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
Αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
Ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα πορφύρας πατῶν.
Κλ. Ἔστιν θάλασσα — τίς δέ νιν κατασβέσει; —

---

871. φθείροντα Fl.

(871) φθ. κακῶς ἀναλίσκοντα F. — ἀργ. δι' ἀργύρου ὠνηθείσας F. — ὑφ. ὑφάσματα F. αἰσχύνη, φησίν, ἐστὶ πολλὴ φθείρειν ἄνδρα τινὰ καὶ τὰ σώματα τῶν ὑπὸ χεῖρα αὐτοῦ, ἤτοι διὰ πολέμων φθείρειν τοὺς ὑπὸ χεῖρα, πρὸς δὲ τούτοις καὶ τὸν αὐτοῦ πλοῦτον καταναλίσκειν κακῶς, καὶ τὰ πέπλα τὰ δι' ἀργύρου ὠνηθέντα πατεῖν καὶ ἄχρηστα ποιεῖν τοῦ λοιποῦ· σὺν γὰρ τῷ ζημίαν εἶναι μεγίστην ταῦτα καὶ φθορὰν τῆς ἀρχῆς καὶ φθόνον οὐ μόνον παρ' ἀνθρώπων ἐπάγει, ἀλλὰ καὶ παρὰ θεῶν· τοῖς ὑπερηφάνοις γὰρ τὸ θεῖον μάχεται. F. (Σχ. π.)

(872) τούτ. ἕνεκα F. — οὕτω· γενέσθω δηλονότι F. — τὴν ξέν. τὴν Κασάνδραν F. — πρ. ἡμέρως F.

873. ἐσκό μιζε Fl.

(873) ἐςκ. εἴσω τῶν οἴκων F. — κρ. ἄρχοντα F. — μαλθ. ταπεινῶς F. Adscr. γνώμη.

(874) πρ. πρόρρωθεν (l. πόρρωθεν) F. — εὐμ. ἡμέρως F. — πρ. προςβλέπει F.

(875) ἑκ. ἤγ. οὐδεὶς ἑκὼν ποτὲ δοῦλος γίνεται F. — δουλ. διὰ τὸ μέτρον F.

876. Αὔτη Aur.

(876) χρ. ἤτοι τῶν λαφύρων F. — ἐξ. ἔκκριτον F.

(877) ἄνθ. καλλώπισμα F. — ξυν. ἠκολούθησεν F.

(878) κατέσταμαι. ἰωνικὸν κατέστην F. εὕρηται καὶ κατέστραμμαι, ἤγ. κατεβλήθην καὶ ἡττήθην, ὥςτε ἀκούειν σοῦ τάδε· ἤτοι ὑπακοῦσαι εἰς ταῦτα· ὃ δὴ ἀπὸ μεταφορᾶς τῶν πεπορθημένων καὶ κατεστραμμένων πόλεων εὕρηται F. (Ἡμ.). — ἄλλως καθίσταμαι, ἀντὶ τοῦ κατέστην V.

(879) εἶμ'. πορεύσομαι F. — μέλ. ἤτοι τοὺς θαλάμους F. — πορφ. πέπλα πορφυρᾶ F.

(880) νιν. αὐτήν F. — κατ. παύσει τοῦ τρέφειν F.

τρέφουσα πολλῆς πορφύρας εἰς ἄργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
Οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
Πολλῶν πατησμὸν δειμάτων ἂν ηὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κόμιστρα τῆσδε μηχανωμένης.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
Καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολών·

---

881. *ἰσάργυρον* Salm.

(881) *πορφ. κογχύλης* F. — *εἰς ἄργ. ἤγ. δι' ἀργύρου ὠνουμένην* F.

(882) *παγκ. διόλου νεάζουσαν* F. — *εἱμ. ἱματίων* F. — *βαφ. λέγω* F.

(883) *οἶκ. ὁ ἡμέτερος* F. — *ὑπ. ἔχειν* F. — *τῶνδε. ἕνεκα· ἤγ. τοῦ ὠνεῖσθαι τὰ τοιαῦτα* F. — *ἄν. ὦ* F.

(884) *πέν. ἤγ. οὐ πένεται* F. — *ἐπ. γινώσκει* F.

885. *δ' εἱμάτων* Aur. C.

(885) *πατ. καταπάτησιν καὶ οἷον ἀπώλειαν* F. — *δειμ. φόβων τῶν τῆς ὑποστροφῆς* F.

(886) *πρ. προκομισθέντος, προλεχθέντος τούτου* F. — *χρ. μαντικοῖς* F.

(887) *κόμ. κομιστήρια* F. — *μηχ. κατασκευαζούσης* F.

(888) *φυλλ. φύλλα ἢ καρπός* F. — *ἵκ. ἦλθεν* F. Adscr. *ὡραϊσμός.*

(889) *ὑπ. ὑπερδραμοῦσα, διελθοῦσα τοῦ κυνάστρου, ἤγ. μὴ ξηρανθεῖσα ὑπὸ τοῦ ἐν τούτῳ καύματος* F.

(890) *μολ. ἐλθόντος* F. — *δωμ. ἤτοι εἰς τοὺς κατ' οἶκον θαλάμους* F.

(891) *θάλπ. καιρὸν θέρους* F. — *σημ. δηλοῖς* F. — (886 sqq.): *προενεχθέντος, φησί, καὶ προκομισθέντος καὶ προλεχθέντος ἐν τοῖς χρηστηρίοις καὶ μαντικοῖς δόμοις τούτου τοῦ ὑποστρέψαι σε, δηλονότι μετὰ νίκης καὶ σεσωσμένον, ηὐξάμην ἂν πολλῶν δειμάτων καὶ φόβων πατησμὸν, ἤτοι καταπάτησιν καὶ οἷον ἀπώλειαν, μηχανωμένης τῆς ψυχῆς μοῦ καὶ κατασκευαζούσης κομιστήρια. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι εἴπερ οἱ μαντικοὶ τῶν θεῶν οἶκοι προεῖπον μοι περὶ τῆς σῆς ὑποστροφῆς, ηὐξάμην ἂν πάντα φόβον διασκεδασθῆναι πατηθέντα καὶ εἰς ἀπώλειαν χωρήσαντα, καὶ κομιστήρια τοιαῦτα ἂν κατεσκεύασα καὶ ἐμηχανησάμην· νῦν οὖν ἐπεὶ ἀνελπίστως εἶδόν σε, δέξαι καὶ ἅπερ ὑπὸ τῆς χαρᾶς σοι κατεσκεύασα. Δέον δὲ εἰπεῖν· ὥσπερ γὰρ ῥίζης οὔσης ἡ φυλλὰς θάλλουσα ἔρχεται εἰς δόμους, οὕτως σοῦ ἐλθόντος εἰς τὸν οἶκον, ἐκ χειμῶνος θάλπος*

ὅταν δὲ τεύχῃ Ζεὺς τ' ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει,
μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

Χο. *Τίπτε μοι τόδ' ἐμπέδως*
δεῖμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά·

ἐδέξατο, ὁ δὲ συνήθως καινόσχημον (l. *καινοσχήμονα*) *τὸν λόγον ἐξήνεγκεν, ὡς πολλάκις εἴρηται* F. (*Ἡμ.*)

(892) *τεύχ. ποιῇ* F. — *Ζεύς. ὁ* F. — *ὄμφ. ἀώρων βοτρίων* F.

(893) *οἶν. ἤτοι κατὰ τὸ μετόπωρον* F. — *ψῦχ. ἤτοι χειμῶν* F. — *πέλ. ὑπάρχει* F.

(894) *τελ. μεγίστου ἐν τέλει καὶ ἐξουσίᾳ ὄντος* F. — *ἐπ. ἀναστρεφομένου* F.

(895) *Ζεῦ. ὦ* F. — *τέλ. ἐντελέστατε· τοιοῦτον γὰρ τὸ θεῖον* F. — *τέλ. πληροῦ* F.

(896) *μέλ. φροντὶς ἔστω σοι· πληροῦσι γάρ τινες καὶ παρέργως τί* F. — *τελ. πληροῦν* F.

897. — *Ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξ', ὧν τὰ μὲν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα· ὧν τελευταῖον ζωπυρουμένας φρενός.* V. — *Στρ. κῶλ. ιγ'* F. V. — *Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν καὶ ἐξ ὁμοίων, ὡς εἴρηται· εἰσὶ δὲ τὰ παρόντα στροφῶν δύο καὶ ἔστι τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιγ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· τῆς δὲ δευτέρας ιε' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, ὧν τελευταῖος ζωπ. φρ. ἃ καὶ μετρήσεις τοῖς προειρημένοις ἑπόμενος. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος· ἐπὶ δὲ τῷ τέλει πασῶν κορωνίς.* F. (*Σχ. π.*)

(897) *τίπτε. τί ἄρα ποτᾶται* F. — *ἐμπ. βεβαίως* F.

898. *δεῖμα* F.

(898) *δεῖμα. φόβος* F. — *πρ. ἄρχον, ἤγ. κυριεῦον τὴν καρδίαν* F.

(899) *τερ. τέρατα σκοπουμένης καὶ προωρώσης* (sic) F. — *ποτ. ἐπέρχεται ἐπ' ἐμοί* F.

900. *ἄμ. ἀοιδα* (sup. *η*). *μαντ. δ' ἀκ.* F.

(900) *ἄμ. τινες γὰρ ἐπὶ μισθῷ ἐμαντεύοντο* F. — *ἀοιδά. ᾠδή, ἤγ. μαντεία* F. — *μαντ. μαντεύεται ἡ καρδία μοῦ* F. — *δ'. γάρ* F. — *ἀκ. μὴ ὑπό τινος κινουμένη, ἀλλ' ἀφ' ἑαυτῆς* F.

οὐδ' ἀποπτύσαι δίκαν
δυςκρίτων ὀνειράτων
θάρσος· εὐπιθὲς ἵξει
φρενὸς φίλον θρόνον.
Χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοις
ψαμμίας ἀκάτας παρήβησεν, εὖθ' ὑπ' Ἴλιον
ὦρτο ναυβάτας στρατός.

Πεύθομαι δ' ἀπ' ὀμμάτων

---

901. *ἀποπτύσαι δίκαν* (sup. *η*) F. *ἀποπτύσας* Fl. V. C.

(901) *οὐδ'. ἵξει θάρσος ἐπὶ τὸν θρόνον τῆς φρενὸς ὥςτε ἀποβαλεῖν τοῦτο* F. (Cf. 151 sq. 918). — *δίκ. τρόπον.*

(902) *δυςκρ. δυςνοήτων* F.

903. *ἴξει* Fl. *ἵξει* F. V. C. *ἵζει* Scal.

(903) *εὐπ. εὔπιστον* F.

(904) *φρ. ἤγ. ἐπὶ τὸ ὕψος τῆς ἡμετέρας γνώσεως* F. — *θρ. ἐν θρόνῳ γὰρ οἱ μάντεις ἐκάθιζον* F. — (897 sqq.): *Ἰδὼν ὁ χορὸς ὅτι Ἀγαμέμνων μὲν σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν ὑπέστρεψεν, οἱ δὲ λοιποὶ τῶν στρατευσάντων οὔπω, προμαντευόμενος οἷον ὡς οὐ πάντες ὑποστρέψουσιν ἀλλ' ὀλίγοι, φησί· τί ἄρα δεῖμα καὶ φόβημα ποτᾶται καὶ ἐπέρχεται ἐπ' ἐμοὶ ἐμπέδως καὶ βεβαίως τόδε· ἤγ. ὅπερ ἐπῆλθέ μοι προστατήριον καὶ ἄρχον τῆς καρδίας μου τῆς τερασκόπου, ἄμισθος λέγει ἀοιδή· ἤγ. τίς ἐστιν ἡ μαντεία, ἥτις περιπολεῖ ἐπὶ τὴν τερατοσκόπον καρδίαν μου, καὶ ποιεῖ αὐτὴν φοβεῖσθαι. μαντιπολεῖ γὰρ καὶ μαντεύεται ἡ καρδία μου δηλονότι ἀκέλευστος, ἤτοι μὴ ὑπό τινος κινουμένη, ὡς οἱ ἄλλοι μάντεις· ἐμπνεόμενοι γὰρ ὑπὸ θεῶν ἐμαντεύοντο· ἀλλ' ἀφ' ἑαυτῆς δηλονότι μαντεύεται, οὐδὲ ἵξει ἐπὶ τὸν φίλον θρόνον τῆς φρενός μου θάρσος εὐπιθὲς καὶ εὔπιστον, ὥςτε ἀποπτῦσαι καὶ ἀποβαλεῖν τοῦτο δίκην καὶ τρόπον ὀνειράτων δυςκρίτων καὶ δυςνοήτων· ἤγ. οὐδὲ ἰσχύν τινα βέβαιον ἡ ἡμετέρα λήψεται γνῶσις ὥςτε ἀποβαλεῖν ἃ κατὰ φαντασίαν ἐπῆλθεν αὐτῇ.* F. (*Ἡμ.*)

905. *ξὺν ἐμβόλοις* Scal.

(905) *δ'. γάρ* F. — *ἐπί. ἤτοι ἐπὶ τῶν πρυμνῶν τῆς ἀκάτης* F. — *ξυν. τοῖς συνειςελθοῦσιν Ἕλλησιν* F.

906. *ἀκάτας* (sup. *η*) F. *ἀκτᾶς* Well. — *εὐθ'* Fl.

(906) *ψαμμ. τῆς ἐν ψάμμῳ ἑλκυσθείσης* F. — *ἀκ. νεώς* F. — *παρ. ἐγήρασεν, ἔξω τῆς ἥβης ἐγένετο* F. — *εὖθ'. ὁπηνίκα* F.

(907) *ὦρτο. ἐκινήθη* F. — *ναυβ. ὁ ναυτικός* F.

908. — *Ἀντ. κώλ. ιγ'* F. V.

(908) *πεύθ. μανθάνω* F. — *ἀπ' ὀμμ. ἤγ. ὁρῶ αὐτοὺς ὑποστρέφοντας* F.

νόστον, αὐτόμαρτυς ὤν·
τὸν δ' ἄνευ λύρας ὅπως ὑμνῳδεῖ
θρῆνον Ἐριννὺς αὐτοδίδακτος ἔσωθεν
θυμός, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
Σπλάγχνα δ' οὔτοι ματᾴζει
πρὸς ἐνδίκοις φρεσὶν
τελεσφόροις δίναις κυκλούμενον κέαρ.
Εὔχομαι δ' ἀπ' ἐμᾶς τοι ἐλπίδος ψύδη πεσεῖν
ἐς τὸ μὴ τελεςφόρον.

Μάλα γέ τοι τᾶς πολλᾶς ὑγιείας
ἀκόρεστον τέρμα· νόσος γὰρ
γείτων ὁμότοιχος ἐρείδει·
* * * * *καὶ πότμος εὐθυπορῶν*

---

(909) *αὐτ. οὐ γὰρ παρ' ἄλλων τοῦτο μανθάνω* F.
910. *ὅμως* St.
(910) *ἄν. λύρ. μουσικῆς χαρμοσύνου* F. — *ὑμν. ᾄδει* F.
911. *Ἐρινύος* Pors. H.
(911) *ἐρ. ἡ φθορά* F. — *αὐτ. ἀφ' ἑαυτοῦ μανθάνων* F.
(912) *θυμ. πείθεται, μανθάνει* F. — *οὐ. ἠγ. οὐ τελείως ἐλπίζων οὐδὲ θαρρῶν· ἀμφιςβητεῖ γὰρ ὁ θυμόμαντις* F.
914. *οὔτι* Cas. Abr.
(914) *σπλ. ἦγ. ἡ καρδία μου ματαιάζει, μάταια λογίζεται* F.
(915) *πρ. σύν* F. — *φρ. ἦγ. λογισμοῖς* F.
(916) *τελ. τετελεσμένοις* F. — *δίν. στροφαῖς* F. — *κυκλ. ἦγ. πολλοὺς λογισμοὺς ἀνελίσσει καθ' ἑαυτό* F. — *κέαρ. τό* F. *λέγω* F.
917. *ἐμας* (sup. *η*) F. Leg. *εὔχομαι δῆτ' ἐξ ἐμᾶς ἐλπ.*
(917) *ψύδη. ἦγ. ψευδῆ ἀποβῆναι καὶ ἀτέλεστα* F.
919. *μάλα γέ τοι δὴ τας πολλας* (*η* bis sup.) F. Leg. *τοι τὸ τᾶς ἀκρᾶς ὑγιείας.*
919. — *Στρ. ἑτέρα κῶλ. ιε'* F. V.
(919) *τοι. γάρ* F. — *τᾶς πολλ. ἦγ. τὸ πολλὰ ὑγιαίνειν ἀκόρεστόν ἐστιν* F. Adscr. *ὡραϊσμός.*
(920) *τέρμ. τὸ τέλος* F.
(921) *ὁμ. τῷ αὐτῷ ὅρῳ διῃρημένη* F. — *ἐρ. ἐρηρεισμένη πλησιάζει* F.
(922) *πότμ. εὐδαιμονία* F. — *εὐθ. εὐθυδρομῶν, ἐξ οὐρίων φερόμενος* F.

ἀνδρὸς ἔπαισεν ἄφαντον ἕρμα.
Καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄκνος βαλὼν
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν,
οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλόκων
νῆστιν ὤλεσεν νόσον. [*ἐπετειᾶν*

Τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον
προπάροιθ' ἀνδρὸς μέλαν αἷμα
τίς τ' ἀγκαλέσαιτ' ἐπαείδων;
Οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὔτ' ἔπαυσ' ἐπ' εὐλαβείᾳ.

---

923. *ἕρμα* Fl.

(923) *ἔπ.* *ἔτυψεν, ἀνέτρεψεν* F. — *ἀφ.* *ἤγ.* *ἀφανῶς* F. — *ἕρμ.* *τὸ στήριγμα τοῦ πλούτου* F.

(924) *πρό.* *ἀργή* (i. e. *πρόθεσις*, otiosa praep.) F. — *χρ.* *τῶν* F.

(925) *κτ.* *τῶν ἐν κτήσει ὄντων* F. — *βαλ.* *τρώσας· ὁ γὰρ ὄκνος ἐλάττονα ποιεῖ τὸν βίον* F.

926. *σφενδόνας* (*η* sup.) F.

(926) *εὐμ.* *εὐστόχου.* *ἔπαισεν* F.

(927) *ἔδ.* *κατέδυ, κατεβλήθη* F. — *πρ.* *ὅλος* F.

(928) *πημονάς.* *βλάβας, συμφοράς* F.

(929) *ἐπ.* *ὥσπερ εἰς βυθόν τινα ἔρριψε* F. — *σκ.* *ἤτοι τὸν οἶκον* F.

930. *ἐκ λιὸς* Fl.

(930) *ἀμφ.* *ἤγ.* *πλουσία.* — *ἀλ.* *ἀλώνων, ἤτοι γεωργημάτων χρονίων* F.

(931) *νῆστ.* *ἤγ.* *λιμὸν* (*λοιμὸν* V.) *διεσκέδασε* F. V.

932. *γαν* (*η* sup.) F. — *πεσόν γ' ἅπαξ.* Aur.

932. — *'Αντ. κῶλ. ιε'* F. V. (qui ad *μέλαν αἷμα* adscripsit.)

(932) *πεσ.* *τινά* F. — *θαν.* *τεθανατωμένον* F.

(933) *πρ.* *ἔμπροσθεν* F. — *αἷμ.* *λέγω* F.

934. Leg. *τίς ἂν ἀγκ.*

(934) *ἀγκ.* *ἀνακαλέσαιτο* F. — *ἐπ.* *ἐπωδὰς λέγων* F.

(935) *ὀρθ.* *ἤγ.* *τὸν ὀρθῶς τὰ περὶ τούτων ἐπιστάμενον 'Ασκληπιὸν πεσόντα* F. — *τῶν φθ.* *ἀπὸ τῶν νεκρῶν* F. — *ἀν.* *ἔξεστι δηλονότι* F.

936. *αὔτ'* Fl. F. *αὖτ'* V. C. Leg. *ἂν ἔπαυσεν.* — *ἐπαυλαβείᾳ·* Fl.

Εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν
εἶργε μὴ πλέον φέρειν,
προφθάσασα καρδία
γλῶσσαν ἂν τάδ' ἐξέχει.
Νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομένα ποτὲ καίριον ἐκτολυπεύσειν
ζωπυρουμένας φρενός.

Κλ. *Εἴσω κομίζου καὶ σύ, Κασάνδραν λέγω·*
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων πολλῶν μέτα
δούλων σταθεῖσαν κτησίου βωμοῦ πέλας.
Ἔκβαιν' ἀπήνης τῆσδε· μηδ' ὑπερφρόνει·

---

(936) *αὐτ'. αὐτά* F. — *ἔπ. τὸν Ἀσκληπιὸν γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον* F. V. — *ἐπ' ἀβλαβείᾳ γε. ὥστε μὴ ἕτερον* (*μὴ ἔτι* V. male legens) *βλαβῆναι* F. V. Cf. H. p. 449.

937. *τεταγμένα* (*η* sup.) F.

(937) *τετ. προκεκυρωμένη* F.

(938) *μοῖραν. ἑτέραν ὕστερον ἐπινοηθεῖσαν πρὸς τῶν θεῶν* F.

(939) *εἶργε. ἐκώλυεν* F.

(940) *καρδ. ἡ ἡμετέρα* F.

941. *γλῶσσαν ἄν, τάδ'* Fl. F. V. C.

(941) *τάδ'. ἤγ. εἶπεν ἂν ταῦτα* F.

(942) *ὑπὸ σκ. ἤγ. καθ' ἑαυτὴν συνταράσσεται ἀναφλεγομένου τοῦ λογισμοῦ· ἐνταῦθα γὰρ σύναπτε τὸ ζωπ. φρενός* F.

943. *θυμ.* — *ἐπ.* om. F. *ἐλπομένα* (*η* sup.) F.

(943) *ἐλπ. ἐλπίζουσα* F. — *καίρ. τὸ πρέπον, τὸ κεκυρωμένον* F. — *ἐκτ. ἐκπληρώσειν τὴν μοῖραν* F.

944. *ζωπυρουμένας* (*η* sup.) F.

(944) *ζωπ. αναφλεγομένης· τοιοῦτο γάρ τι πάσχουσιν οἱ ἐπιθυμοῦντες μαθεῖν τὸ ἀποβησόμενον* F.

945. — *Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λζ', ὧν τελευταῖος ἑκοῦσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς* F. (*Ἡμ.*) V.

(945) *κομ. πορεύου* F. — *Κασ. τὴν* F.

(946) *ἀμ. ἀοργήτως* F.

(949) *ἀπ. τοῦ ἅρματος* F.

καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι καὶ ζυγῶν θιγεῖν βίᾳ.
Εἰ δ' οὖν ἀνάγκη τῆςδ' ἐπιρρέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις·
οἱ δ', οὔποτ' ἐλπίσαντες, ἤμησαν καλῶς,
ὠμοί τε δούλοις πάντα καὶ παρὰ στάθμην.
Ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.
Χο. Σοί τοι λέγουσα παύεται σαφῆ λόγον·
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων
πείθοι' ἂν εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.
Κλ. Ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.
Χο. Ἕπου· τὰ λῷστα τῶν παρεστώτων λέγει.

---

(950) *παῖδα*. ἤγ. τὸν Ἡρακλέα F.

(951) *τλ.* ὑπομεῖναι F. — *θιγ.* ψαύειν F. Adscr. σημειωτέον.

(952) *τῆςδ'*. τῆς δουλικῆς F.

954. οἱ δ' Fl. F. V. C. οἵ δ' St.

(954) *ἤμ.* ἐθέρισαν, ἤγ. ἐπλούτησαν F. ἤγ. ἐπλούτησαν καλῶς, ὡς ἐκ θερισμοῦ V.

(955) *ὠμ.* ἀπηνεῖς F. — *παρὰ στ.* παρὰ τὸ πρέπον F. ἀντὶ τοῦ παρὰ πρέπον V. — (952 sqq): καλὸν μέν, φησι, μὴ πειραθῆναι δουλείας· εἰ δὲ πειρῷτό τις, κάλλιον ἀρχαιοπλούτοις δουλεύειν καὶ μὴ νεοπλούτοις· οἱ γὰρ μὴ ἐλπίσαντές, φησι, πλουτῆσαι καὶ πλουτήσαντες ἀπηνεῖς εἰσὶ τοῖς δούλοις F. (Σχ. π.)

(957) *σοί*. ὦ Κασάνδρα F.

(958) *μορσ.* μεμοιρασμένων F.

(959) *πείθ.* ἐμοὶ F. — *εἰ πείθ.* εἰ βούλοιο πεισθῆναι F. — *ἀπ.* ὡς βάρβαρος F.

960. ἔστι μὴ Fl. F.

(960) *χελ.* ὅτι βάρβαρον τὸ ὄρνεον, διὰ τοῦτο παραβάλλει τούτῳ αὐτήν (τοῦτο αὐτῇ V.)· ἐν Θράκῃ γὰρ καὶ ἡ μεταμόρφωσις αὐτῆς ἱστορεῖται (ἱστορῆται V.), καὶ Ἀριστοφάνης· *Θρηικία χελιδὼν ἐπὶ βάρβαρον ἑζομένη πέταλον* F. (Σχ. π.) V. om. ἐν–πέτ.

(961) *ἀγν.* ἄγνωστον F.

(962) *νιν.* αὐτήν F.

(963) *ἕπ.* τῇ δεσποίνῃ F. — *τὰ λῷστα.* τὰ κρείττω F. — *τῶν παρ.* τῶν ἐνισταμένων νῦν πραγμάτων F.

πείθου λιποῦσα τόνδ' ἀμαξήρη θρόνον.
Κλ. Οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
Σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει·
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.
Χο. Ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.
Κλ. Ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.

---

964. ἀμαξήρη F.
(964) πείθ. τοῖς λεγομένοις F. — θρ. τὸ ἅρμα F.
(965) θυρ. ἔξω τῆς θύρας F. — σχ. ἄδεια F.
(966) μεσ. ἤγ. ἐν Πυθίᾳ F.
(967) ἕστ. ἡμῖν F. — ἤδη. πάλαι F. — μῆλα. πρόβατα F.
(969) σύ. ὦ Κασάνδρα F. — τῶνδε. ὧν λέγω F. — σχ. βραδυτῆτα F.
(970) ἀξ. ἤγ. μὴ συνιεῖσα καὶ γινώσκουσα τὰ λεγόμενα F. — δέχῃ· ἤγ. νοεῖς F. — λόγ. τὸν παρ' ἐμοῦ F.
(971) φρ. δήλου F. — καρβ. βαρβάρῳ Fl. F. V.
(972) ἔοικ. φαίνεται F. — τορ. σαφοῦς F.
(973) νεαιρ. νεωστὶ ἀγρευθέντος καὶ ἔτι ἀγριαινομένου F.
974. μαίνεταί τε H.
(974) ἤ· ὄντως F. — κακ. ἤγ. κακῶς διαλογίζεται F.
(975) νεαίρ. νεοπόρθητον F.
977. * πρὶν — F.
(977) αἱμ. οἱ γὰρ πρὸς τὸν χαλινὸν μαχόμενοι ἵπποι αἷμα ἀποπτύουσιν F. — ἀπὸ τῶν στρηνιούντων (om. R. στρηνιώντων V.) ὑποζυγίων, ἃ οὐκ εἴκοντα τῷ χαλινῷ ἀφρίζει μετὰ (ἀφρίζειν κατὰ Marc.) αἵματος. ἢ ἐπεὶ αὕτη (αὐτὴ M.) οὐ πείθεται πρὶν αἱματός μου τὴν ψυχὴν ἐξαφρίσαι· ἀντὶ τοῦ πρὶν ὀργισθῆναί με αὐτῇ (με αὐτοῦ R.) M. Marc. G. R. V. — ἀπὸ μεταφορᾶς τῶν σφαδαζόντων ὑποζυγίων, ἅτινα οὐκ εἴκοντα τῷ χαλινῷ ἀφρίζει μετὰ αἵματος. F. (Σχ. π.)

Οὐ μὴν πλέω ῥίψασ᾽ ἀτιμασθήσομαι.
Χο. Ἐγὼ δ᾽ — ἐποικτείρω γὰρ — οὐ θυμώσομαι·
ἴθ᾽ ὦ τάλαινα, τόνδ᾽ ἐρημώσασ᾽ ὄχον·
ἑκοῦσ᾽ ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

Κα. Ὀτοτοτοτοῖ πόποι δᾶ·
ὤπολλον ὤπολλον.
Χο. Τί ταῦτ᾽ ἀνωτότυξας ἀμφὶ Λοξίου;

---

978. *οὐ μὴν* M. (corr. ex *οὐ μή*). — *ἀτιμασθήσομαι* M. Marc. *ἀτιμεστρήσομαι* R.

(978) *ῥίψ. ἤγ. ματαίως εἰποῦσα* F.

(979) *θυμ.. θυμωθήσομαι ὡς σύ* F.

980. *ἴσθ᾽* V. C.

(980) *ἐρ. ἤγ. ἀφεῖσα* F.

981. *ἑκοῦσ᾽* Marc. *εἴκουσ᾽* R.

982. *ὀτοτοτοῖ. πομποῖ* Fl. F.

982. — *Εἴσθεσις διπλῆς ἀμοιβαίας, τὰς περιόδους μονοστροφικὰς καὶ συνεχεῖς ἔχουσα. Εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα ἀντισπαστικά. Ἔοικε δὲ ταῦτα στροφῇ καὶ ἀντιστροφῇ· καὶ εἰσι τῆς μὲν στροφῆς κῶλα β', ὧν τὸ α' ἡμιόλιον, τὸ δὲ β' πενθημιμερές· ὁμοίως καὶ τῆς ἀντιστροφῆς· τὰ αὐτὰ γάρ εἰσι κῶλα· ἔχουσι δὲ καὶ τοὺς πόδας πεντασυλλάβους* V. — *Στροφή* F. — *Αἱ περίοδοι αὗται πᾶσαι καλοῦνται, ὡς εἴρηται, ἀλλοιόστροφοι. εἰσὶ δὲ τῶν μὲν στροφῶν καὶ ἀντιστροφῶν τα κῶλα ἀντισπαστικά, ἐν οἷς καὶ πεντασύλλαβοι πόδες εὑρίσκονται. Εἰσὶ δὲ ἐν ταῖς τοιαύταις στροφαῖς καὶ στίχοι ἰαμβικοὶ τρίμετροι· τῶν δὲ συστημάτων πάντες ἰαμβικοὶ τρίμετροι. Ἐπὶ ταῖς ἀποθέσεσι τῶν μὲν στροφῶν παράγραφος καὶ διπλαῖ συνήθως, τῶν δὲ ἀντιστροφῶν παράγραφος μόνη. ὡσαύτως καὶ ἐπὶ τῶν συστημάτων.* F. (*Ἡμ.*)

(982) *ὀτ. φεῦ* F. — *πομπ. ἡ πέμψασά με ἐνταῦθα* F. — *δᾶ. γῆ* (F.) *δωρικῶς· ὅθεν καὶ Δημήτηρ οἷον γῆ μήτηρ· προαναφωνεῖ δὲ* (*προςαναφωνεῖ* R.) *τὰ ἐσόμενα.* G. M. (ubi *προαν. τὰ ἐσ.* ad vs. 986 refertur) R. V.

(983) *ἄπολλον. ὦ. ἄπολλον. ὦ* F.

984. *ἀνωλόλυξας* Sch. Cf. [984].

984. — *Σύστημα* F.

(984) *ἀν. διὰ τοῦ ὀτοτοτοῖ ἐφθέγξω* F. — *ἀμφί. περί* F. — *Λοξ. τοῦ Ἀπόλλωνος* F.

[984] Schol. *ad Eur. Phoen.* 1035 (1028) *ἄλυρον Μοῦσαν*] *τὸν θρῆνον, παρόσον πρὸς αὐλόν, οὐχὶ πρὸς λύραν, ᾖδοντο οἱ θρῆνοι, ἱερὰν*

οὐ γὰρ τοιοῦτος ὥςτε θρηνητοῦ τυχεῖν.
Κα. *Ὀτοτοτοτοῖ πόποι δᾶ·*
ὤπολλον ὤπολλον.
Χο. *Ἡ δ' αὖτε δυςφημοῦσα τὸν θεὸν καλεῖ,*
οὐδὲν προςήκοντ' ἐν γόοις παραστατεῖν.
Κα. *Ἄπολλον, Ἄπολλον,*
ἀγυιᾶτ', ἀπόλλων ἐμός·
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.
Χο. *Χρήσειν ἔοικεν ἀμφὶ τῶν αὐτῆς κακῶν·*

Ἀπόλλωνος νομιζομένην· ἀπενθὴς δὲ θεὸς ὁ Ἀπόλλων. Αἰσχύλος· τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ Λοξίου· οὐ γὰρ τοιοῦτος ὥςτε θρηνητοῦ τυχεῖν.

(985) *τοιοῦτ. κοινη* Fl. *ἐστὶν* F.

986. — *Ἀντ.* F.

988. *ἡ δ'* Fl. *ἥ δ'* F.

988. — *Σύστ.* F.

(988) *αὖτε. πάλιν* F. — *τὸν θεόν· τὸν Ἀπόλλω* F. Adscr. *ἴαμβοι.*

(989) *πρ. ἁρμόζοντα* F. — *παρ. παραγίνεσθαι* F.

990. — *Στρ. ἑτέρα* F. — *Ἑτέρα στροφή· κῶλα γ', ὧν τὸ α' πενθημιμερὲς, τὸ β' δίμετρον ἀκατάληκτον, τὸ δὲ γ' ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος* V.

(990) *ἄπ. ὦ. ἄπ. ὦ* F. — *ὁ ἀπολλύων με διὰ τὴν ἐπωνυμίαν· ἐκείνην γὰρ ἀπώλειαν πρώτην ἡγοῦμαι τὴν τῆς δουλείας, δευτέραν δὲ τὴν τοῦ θανάτου* F. (*Σχ. π.*)

991. *ἀγυιᾶ τ'* (corr. ex *ἀγυιεῦ τ'*) Fl. *ἀγυιά τ'* F. *ἀγυιά τ'* Marc. *ἀγυιᾶτα* R.

(991) *ἀγυιά τ'. ἡγ. ὁδός* F. — *ἀπ. ἐμ. ἥτις ἐγένου ἡμετέρα ἀπώλεια* F. — (*ὁ* M. Marc.) *ἀπολλύων με· παρὰ τὴν* (*τ.* om. R.) *ὁμωνυμίαν* (*ἐπωνυμίαν* Marc.) G. M. Marc. R. V.

992. *τὸ β* (*ον* sup. adscr.) G.

(992) *ἀπ. ἐκείνην* (*ἐκείνη* Marc.) *γὰρ ἀπώλειαν μόνος* (*μόνως* Marc. R. V.) *ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νῦν* (R. V.). *γρ. δέ· δεύτερόν με ἀπόλεσας* (*ἀπώλεσας* Marc.) *οὐ μετὰ καμάτου* G. M. Marc. (in hoc refertur ad vs. 993). — *οὐ μόλ. ἀλλὰ ταχέως· λέγει δὲ τὸν αὐτῆς ὅσον οὔπω γενησόμενον θάνατον* F. — *τὸ* (om. V.) *δεύτ. γράφεται* (om. V.)· *δεύτερόν με ἀπώλεσας οὐ μετὰ καμάτου* R. V.

993. *χρᾴειν* G. *χράειν* A. In M. dubium, *χρήσειν* an *χράειν* legendum sit: hoc probabilius. *χρήσειν* Marc. Fl. F.

993. — *Σύστ.* F.

μένει τὸ θεῖον δουλίᾳ παρ' ἐν φρενί.
Κα. *Ἄπολλον, Ἄπολλον,*
ἀγυιᾶτ', ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;
Χο. *Πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,*
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.
Κα. *Μισόθεον μὲν οὖν, πολλὰ συνίστορα,*
αὐτοφόνα κακὰ κἀρτάναι,
ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον.
Χο. *Ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην*

---

(993) *χρ. μαντεύσασθαι* F. — *ἐοικ. φαίνεται* F. — *ἀμφί. περί* F. Adscr. *ἴαμβοι.*

994. *παρ' ἐν* M. G. A. T. *παρ' ἔν* Marc. *παρὲν* Fl. V. C. *παρὸν* F. R.

(994) *δουλ. δουλικῇ· διὰ τὸ μέτρον* F. — *παρ. ἤγ. καὶ δούλῃ γενομένῃ αὐτῇ σύνεστιν* F.

995. — *Ἀντ.* (*ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς* V.) F. V.

996. *ἀγυιά τ'* F. *ἀγυιᾶτ'* R.

997. *πρὸς μίαν* Marc.

(997) *ἆ.* (Adscr. *ἴαμβος*) F.

998. *εἶ συ. τὸ, μῆδ'* Fl.

998. — *Σύστ.* F.

(998) *τήν· οἰκίαν· στέγην* F. — *ἐνν. γινώσκεις* F. Adscr. *ἴαμβοι.*

(999) *ἐρ. λέξεις* F. — *ψύθη. ἤγ. ψευδῶς εἶπον* F.

1000. *ἆ ἆ* M. *ἆ ἆ* Marc. G. (ante vs.)

1000. — *Στρ. ἑτέρα* F. — *Ἑτέρα στροφὴ ἔχουσα κῶλα γ', ὧν τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον· τὸ β' δίμετρον ἀκατάληκτον· ἔχουσι δὲ πεντασυλλάβους πόδας· τὸ δὲ γ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον.* V.

(1000) *μισ. ἄθεον, θεοστυγές.* M. G. R. V. (*θεοστυγῆ* Abr.) — *εἰς μισόθεον ἦλθον στέγην* F. — *πολλά. γινώσκουσαν πολλὰ κακά* F.

1001. *αὐτοφόνα* M. Marc. G. — *καρτάναι* Marc. *κἀρτάναι* Fl. *καρτάνας* F.

(1001) *καρτάναι· ἀντὶ τοῦ ἀγχόνη* (*ἀγχόνῃ* M.) M. G. *ἀγχόναι* Fl. V. *καρτάνας· ἀγχόνας* F. *ἀρτάνη· ἀγχόνη* R.

1002. *σφάγ ον* M. *σφάγιον* Marc. — *πέδον ῥαντήριον* (corr. ex *πέδροραντήριον*) M. *ἀνδροσφαγεῖον* Dobr. *πεδορραντήριον* Dind. H.

(1002) *ἀνδρ. τοῦ Ἀγαμέμνονος* F. — *ῥαντ. τῷ αἵματι ῥανθησόμενον* F. Adscr. *ἴαμβος.*

1003. *εὖρις* Marc.

εἶναι, ματεύει δ' ὧν ἂν εὑρήσῃ φόνον.
Κα. *Μαρτυρίοις γὰρ τοῖςδε πεπείθομαι·*
κλαιόμενα τὰ βρέφη, σφαγάς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.
Χο. *Ἦ μὴν κλέος σοῦ μαντικὸν πεπυσμένοι*
ἦμεν, προφήτας δ' οὔτινας μαστεύομεν.
Κα. *Ἰὼ πόποι, τί ποτε μήδεται;*
τί τόδε νέον ἄχος μέγα,

1003. — *Σύστ.* F.

(1003) *ἔοικ.* *φαίνεται* F. *ἔοικεν ὡς κύων. εὑρισ.* (*κει* sup. *ισ*) (*εὑρίσκοι* M. *εὑρίσκει* Marc. *εὗρις* F. *εὗριν* R. *εἶριν* V.) *ἀναζητεῖ.* (*ζητεῖν* F. *ἀναζητεῖν* R. *ματεύειν καὶ ἀναζητεῖν* V.) *εἰ γέγονεν* (*γέγονέ τις* F.) *ἐνθάδε παλαιὸς φόνος.* G. M. Marc. F. (*Σχ. π.*) R. V. In F. adscr. *ἴαμβοι.*

1004. *ἀνευρήσει* Pors.

(1004) *ματ.* *ἐρευνᾷ* F.

1005. *μαρτυρίοισι* De P. — *τοῖςδ' ἐπιπείθομαι* Abr.

1005. — *Ἀντ.* F. — *Ἀντ. ἑτέρα ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς* V.

(1005) *μαρτ.* *φαντάζεται γὰρ* (*φ. οἷον* F.) *ὁρᾷν τὰ* (*νεκρὰ* add. F.) *σώματα τῶν ἀνῃρημένων παίδων Θυέστου* (*καὶ βρωθέντα παρ' αὐτοῦ* add. F.) M. G. F. (*Σχ. π.*) R. V. — *πεπ.* *πείθομαι* F.

(1006) *κλ.* *κλαίοντα* F.

(1007) In F. adscr. *ἴαμβος.*

1008. *ἦμεν* F. In M. post *πεπυσμενοι* una litera in litura.

1008. — *Σύστ.* F.

(1008) *ἦμεν.* *ἤγ. ἴσμέν* F. — *πεπ.* *ἀκούσαντες* F. Adscr. *ἴαμβοι.*

1009. *ἦσμεν* Pors.

(1009) *προφ.* *τοὺς λέξαντας* (*τ. λέξοντας* V.) *ἡμῖν περὶ σοῦ· αὐτοὶ γὰρ αὐτόπται* (*ὑπόπται* Marc.) *γινόμεθα.* M. G. Marc. R. V. — *μαστ.* *ζητοῦμεν νῦν* F.

1010. *ἰὼ πόποι* M. *ἰὼ ποποῖ* Marc. *ἰώ· πόποι* F.

1010. — *Στρ. ἑτέρα κῶλ. ε'* F. — *Ἑτέρα στροφὴ ἔχουσα κῶλα ε'· ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β' δίμετρον καταληκτικόν, ἤτοι τὸ ἑφθημιμερές, τὸ γ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, τὸ δ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ δὲ ε' πενθημιμερές· ἔχουσι δὲ τοὺς πόδας πεντασυλλάβους.* V.

(1010) *πόπ.* *φεῦ* F. — *μήδ.* *βουλεύεται, ἤγ. μελετᾶται* F.

1011. *ὄχθος* (*ἄχος* sup. scr.) M. *ἄχθος* Marc. *τί τόδ' ἄχος νέον, μέγα,* H.

(1011) *νέον.* *ἀντὶ μιᾶς* F.

μέγ' ἐν δόμοισι τοῖςδε μήδεται κακὸν
ἄφερτον φίλοισιν, δυςίατον; ἀλκὰ δ'
ἑκὰς ἀποστατεῖ.
Χο. Τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων·
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.
Κα. Ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς;
τὸν ὁμοδέμνιον πόσιν
λουτροῖσι φαιδρύνασα — πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται· προτείνει δὲ χεῖρ' ἐκ
χερὸς ὀρεγμένα.
Χο. Οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

(1012) μήδ. βουλεύεται, ἤγ. μελετᾶται F. Adscr. ἴαμβος.
1013. ἀλκα (η sup.) F. ἀλκά δ' R. (in Sch. l. δυςίατον ἀλκάν).
(1013) ἄφ. ἀφόρητον F. — ἀλκά. ἡ βοήθεια, ἤγ. ὁ Ὀρέστης F. τὸν Ὀρέστην φησί (λέγει Fl.) M. G. R. V.
[1013] Hes. ἀλκή. Cf. vs. 107.
(1014) ἑκ. μακράν F. — ἀπ. ἀφίσταται, ἤγ. ἀποδημεῖ F.
1015. — Σύστ. F.
(1015) τούτ. ὧν λέγεις F. — ἄϊδρ. ἀμαθής F. Adscr. ἴαμβοι.
(1016) ἐκ. τὰ περὶ Θυέστου M. Fl. F. In G. R. V. adscr. ad βοᾷ.
1017. — Ἀντ. κῶλ. ε' F. — Ἑτέρα ἀντ. ἔχουσα κῶλα ε' ὅμοια τοῖς τῆς στροφῆς.
(1017) τάλ. ἀθλία Κλυταιμνήστρα F. — τελ. πληρώσεις F.
(1018) ὁμ. ὁμόκοιτον F. — πόσ. ἄνδρα F.
1019. λοτροῖσι φαιδρύνας Marc.
(1019) φαιδρ. καλλωπίσασα F. Adscr. ἴαμβος.
(1020) τάχ. ταχέως F. — πρ. δίδωσι F.
1021. ἐκ χερὸς Ven.
1021. ὀρεγόμενα R. (in Sch. l. ὀρεγομένα).
(1021) ὀρ. διδομένη ἢ λαμβάνουσα F. διαδέχονται δὲ (γὰρ Marc. F. om.) ἀλλήλους (φησὶ add. F.) τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνήστρα (Κλυταιμήστρα M.) M. Marc. G. F. (Σχ. π.) R. V.
1022. — Σύστ. F.
(1022) ξυν. ἐνόησα F. Adscr. ἴαμβοι.
(1023) ἐπαργ. τοῖς τυφλοῖς καὶ ἀσήμοις· ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν M. G. R. V. ἐπ' ἀργ. ἤγ. σκοτεινοῖς καὶ ἀσήμοις· ἐκ μεταφορᾶς τῶν λ. ἐ. ὀφθ. F. — θεσφ. μαντεύμασιν F.

Κα. Ἒ ἔ, παπαῖ παπαῖ, τί τόδε φαίνεται;
ἦ δίκτυόν τι γ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος ἡ ξυναιτία
φόνου· στάσις δ' ἀκόρεστος γένει
κατολολυξάτω θύματος λευσίμου.
Χο. Ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλῃ

1024. παπαὶ παπαὶ G. Fl. Ven. παπαί παπαί F.

1024. — Στρ. ἑτέρα κώλ. ϛ' F. — Ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον, καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἒ ἔ· τὰ δὲ ἑξῆς κῶλά εἰσιν ε'· ὧν τὸ α' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β' δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, τὸ γ' ἰαμβικὸν τρίμετρον, τὸ δ' ὅμοιον τῷ α'· τὸ δὲ ε' τρίμετρον καταληκτικόν, καὶ αὐτὸ ἀντισπαστικόν. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας. V.

(1024) τί τόδε. φαντάζεται (καὶ add. F.) τὸν χιτῶνα. M. G. F. R. V. In G. add. λέγων τί τόδε φαίνεται· in F. add. δι' οὗ ἀναιρήσει τὸν ἄνδρα· καὶ φησιν ὡς ἡ ξύνευνός ἐστι τοῦ Ἀγαμέμνονος ἡ αἰτία τοῦ φόνου (Σχ. π.)

1025. ἦ M. Marc. G. ἡ Fl. Ven. — δίκτυόν τίγ' Fl.

(1025) ἀΐδ. συνίζησις F.

1026. Leg. ἅμ' ἄρκυς. (Cf. Bast. II p. 724.)

(1026) ἀρκ. δίκτυον ἐστίν· αὐτὴ γὰρ αὐτὸν περιπλέξει F. Adscr. ἴαμβος. — ξύν. ἡ σύνευνος (om. R. ἡ γυνὴ V.) τοῦ Ἀγαμέμνονος (ἡ add. Marc.) αἰτία ἔσται (ἐστι M.) τοῦ φόνου M. Marc. G. R. V.

1027. ἀκόρετος Both.

(1027) στ. ἡ (om. F.) στάσις, φησίν, ἐπολολύξαι μέλλει (μέλει R. V.) ἐπὶ τῇ λεοργῷ (λεωργῷ R. V.) Κλυταιμνήστρᾳ (Κλυταιμήστρᾳ M. In F. ἐπὶ τῷ γένει διὰ τὴν τοῦ Ἀγαμέμνονος σφαγὴν, ἢ διὰ τὴν τῆς Κλυταιμνήστρας) ἡνίκα ἀπόληται (ἀπώληται G. ἀπόλλυται F.)· (ἔστι δὲ add. F.) παρὰ τὸ αἳ δ' ὀλόλυξαν θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις M. G. F. R. V. (Cf. Od. III, 451).

1029. δώμασι Marc. T.

1029. — Σύστ. κώλ. ϛ' F. — Ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὰ τῶν συστημάτων κῶλα· τὰ μὲν γάρ ἐστιν ἰαμβικὰ, τὰ δὲ ἀντισπαστικὰ, καὶ στροφῆς καὶ ἀντιστροφῆς λόγον ἔχουσιν. ὅθεν καὶ τὰ σημεῖα ὁμοίως ἐτέθη κἀν τούτοις, ἤτοι ἡ παράγραφος καὶ αἱ διπλαῖ. F. (Ἡμ.) — Ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶ ϛ'· ὧν τὰ πρῶτα β' ἰαμβικὰ τρίμετρα, τὸ γ' καὶ δ' ἀντισπαστικὰ τρίμετρα καταληκτικὰ, τὸ ε' δίμετρον ὑπερκατάληκτον, τὸ δὲ ϛ' ἑφθημιμερές· ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας V.

(1029) κέλ. ἀντὶ τοῦ λέγεις M. G. Fl. V. (Dind. male refert ἀντὶ τοῦ λέγειν ad ἐπορθ.) κελεύεις F. adscr. in F. ἴαμβοι β'.

ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος·
ἐπὶ δέ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγὼν, ἅτε καὶ δορία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς·
ταχεῖα δ' ἄτα πέλει.
Κα. Ἆ ἆ, ἰδοὺ, ἰδού· ἄπεχε τῆς βοὸς
τὸν ταῦρον· ἐν πέπλοισιν
μελάγκερων λαβοῦσα μηχανήματι
τύπτει· πίτνει δ' ἐνύδρῳ τεύχει·

1030. *φαιδρυ* (*νει* post adscr.) M.

(1030) *ἐπ. ὀξέως θρηνεῖν, ὀλολύζειν* F. — *φαιδρ. εὐφραίνει* F. *οὐ σεσαφήνισται* M. G. R. V.

1031. *ἐπὶ* (corr. ex *ἐπεὶ*) M.

(1031) *κρ. ἀντὶ μιᾶς· αἱματηρά* F.

1032. * *σταγών·* C. — *δορὶ* Cas.

(1032) *ἡ σταγὼν τὸ αἷμα* M. G. R. V. — *ἅτε· καθά* F.

1033. *ξυν ανυτεῖ* M. *ξυναντεῖ* Marc. *ξὺν αντεῖ* G.

(1033) *ξυν. συμπληροῦται* (Fl. F.) *τοῦ βίου δύνοντος* (*δύντος* V.) *ταῖς αὐγαῖς σου, μηκέτι ὁρῶντος ταῖς αὐγαῖς* M. G. V. (H. leg. *τοῦ μηκ.*) *βίου δύντος· συμπληροῦνται τοῦ βίου δύννοντος ταῖς — αὐγαῖς* R.

1034. *ἄτα* (*η* sup.) F.

(1034) *ἄτ. ἤγ. ἡ σφαγή* F.

1035. — *Ἀντ. κῶλ. ϛ'* F. — *Ἀντ. ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς, καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνῃ ε'* V.

(1035) *ἄπ. ἀφίστασο* F. *τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα, ὅπως ἂν μὴ ἀπόληται* (*ἀπώληται* G.) M. G. R. V. — *τῆς βοῆς. ἤγ. τὴν Κλυταιμνήστραν, ἥτις τὸν ἑαυτοῦ ταῦρον ἀπέκτεινεν* F.

1036. *πέπλοισιν* Fl. Marc. Ven.

(1036) *τὸν ταῦρ. τὸν μελάγκερων* F.

1037. *μελαλαγκέρῳ* (*ν* sup. *ω*) Marc. *μελαγκέρω* R. (in Sch. l. *μελάγκερων*).

(1037) *μελ. τῆς μελαγκέρου βοός* M. *τὸν μελάγκερων ταῦρον λαβοῦσα* (*λαθοῦσα* G.) *τῷ* (pro *τῷ* F. *ἐν* habet) *μηχανήματι τῷ* (om. F.) *διὰ* (*τῷδε* pro *τῷ διὰ* Marc.) *τῶν πέπλων τύπτει* (*πίπτει* Marc.)· *ἐὰν δὲ γράφηται* (*γράψῃς* F.) *μελαγκέρῳ μηχανήματι τύπτει* (*τ.* om. F.), *ἀντὶ τοῦ* (*τ.* om. R.) *κεκρυμμένῳ* (*ἐστὶν* add. F.). M. Marc. G. F. R. V. qui addit *ἄλλως· τῆς μελαγκέρου βοός.* — *μηχ. τῷ ἀτρήτῳ ἱματίῳ* F. Adscr. *ἴαμβος.*

1038. *θένει* H. — *δ' ἐν ἐνύδρῳ* Schütz. — *κύτει* H.

(1038) *τύπτ. ἤγ. σφάττει* F. — *πίτν. πίπτει ὁ Ἀγαμέμνων* F. — *τεύχ. ἐν τῷ λέβητι τῷ ἔχοντι τὰ λουτρά* F.

δολοφόνου λέβητος τύχαν σοι λέγω.
Χο. *Οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος*
εἶναι, κακῷ δέ τῳ προςεικάζω τάδε.
'Από δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς στέλλεται; κακῶν γὰρ διὰ
πολυεπεῖς τέχναι θεσπιῳδὸν
φόβον φέρουσιν μαθεῖν.

1039. *τύχαν* (*η* sup.) F.

1040. *οὐ κομπάσαιμ' ἂν* R. (in Schol. l. *οὐ κομπάσομαι*). — *γνωμῶν* Fl. Ven.

1040. — *Σύστ. ὅμοιον τῷ ἄνω κώλ. ς'* F. — *Τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀντιστροφή, ἔχουσα κῶλα ὅμοια ς'* V.

(1040) *οὐ κομπ. οὐκ ἀλαζονεύομαι* (*ἀλαζονεύσομαι* F. R. *φησὶ* add. F. *μάντις ἄκρος* (*εἶναι* add. F.), *ἐπιγιγνώσκων* (*ἐπιγινώσκων* F. V.) *τὰ* (om. V.) *θέσφατα· ὅμως δὲ στοχάζομαι* (*στοχάζομαι.* R.) *τι κακὸν ἀποβήσεσθαι* (*ἀποβήσεται* R.) M. G. F. R. V. — *θεσφ. μαντειῶν* F. — *γν. νοήμων* F. Adscr. *ἴαμβοι β'*.

(1041) *κακ. ἐν* F. — *τῳ. τινὶ* F. — *πρ. στοχάζομαι* F.

1042. *τίς* Fl. F. Ven. *τις* Marc. — *ἀγαθα* (*η* sup.) F.

(1042) *ἀγ. γνωμολογῶν φησὶ τὸ* (*τοῦτο* V.)· *ἐνίοτε γὰρ καὶ ἐπ' ἀγαθοῖς οἱ χρησμοὶ γίνονται· ὡς δὲ ἐπὶ τὸ πολὺ* (*ἐπὶ πολὺ* Marc. R.) *μοχθηρὰ* (*μοχθηροὶ* M. sed corr.) *χρησμῳδοῦσιν* (*χρησμοδοῦσιν* G.)· *ἢ τὸ ὅλον ἐπὶ τῶν χρησμῶν* (*τῷ χρησμῷ* R. V.) *Κασάνδρας* (*Κασσ.* R. V.) *ἀπὸ τούτων* (*τ.* om. G.) *τῶν θεσπισμάτων* (*θεσπιμάτων* Marc.) *τίς* (*τὶς* V.) *ἀγαθὴ φάτις γίνεται* (R.)· *βροτοῖς δὲ* (*γίνεται βροτοῖς* V.) *τοῖς ἐγχωρίοις* M. Marc. G. V.

1043. *διαὶ* H.

(1043) *στέλλεται. ἔρχεται· διὰ τὸ μέτρον* F. — *κακ. διὰ τὰ* (*τὸ* add. in Cod. Pal. Cf. Fr. p. 315 fin.) *προςόντα κακὰ τοῖς* (*εἰς μαντείαν* add. F.) *εἰςερχομένοις* (*ἐρχομένοις* Marc. In G. leg. *δ. τὰ πρ. κασις* (*λυπ* sup. *σις*) *εἰςερχομένου*). *καὶ τὰ λεγόμενα φοβερά* (in F. add. *ἐστι· γνωμολογῶν δὲ ταῦτα φησίν· ἐνίοτε — χρησμῳδοῦσιν.* R. et V. item Cod. Vat. ap. Fr. p. 316: *κ. τ. λεγόμενα, φανερά*) M. Marc. G. F. (*Σχ. π.*) R. V.

1044. *πολυεπεῖς* Fl. Marc. — *θεσπιῳδὸν φόβον* om. Marc. R. *θεσπιῳδῶν* Cas.

(1044) *θεσπ. μαντικόν* F.

(1045) *φόβ. παρὰ τὸ λεγόμενον* (*τὰ λεγόμενα* F.) *ἐν τῇ* (*τῇ* om. F.) *συνηθείᾳ· οὐδεὶς εὐτυχὴς πρὸς* (*εἰς* R. *ἐς* F.) *μάντιν ἀπέρχεται* M. G. F. (*Σχ. π.* In F. adscr. est ad *ἀπὸ δὲ θεσφ.*) R. (qui continuat *φάτις γίνεται, παρὰ τὸ — ἀπέρχεται*) V. (qui om. *ἐν τῇ συνηθ.*)

Κα. Ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι·
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπαγχέασα.
Ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην· τί γάρ;
Χο. Φρενομανής τις εἶ θεοφόρητος, ἀμφὶ δ' αὑτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀκόρεστος βοᾶς φεῦ φιλοίκτοις φρεσὶν

1046. ταλαινας (η sup.) F.

1046. — Στρ. ἑτέρα κώλ. ε' F. — Στρ. ἑτέρα κώλ. ε', ὧν τὸ α' μονόμετρον, τὸ β' δίμετρον ὑπερκατάληκτον ἀντισπαστικὸν, τὸ γ' τρίμετρον καταληκτικὸν ὅμοιον, τὸ δ' ἰαμβικὸν τρίμετρον, τὸ ε' ὅμοιον τῷ γ'. V.

(1046) ταλ. ἐμοῦ F. — κακ. δυστυχεῖς F. — τύχ. ὦ F.

1047. θροῶ, πάθος R. ἐπεγχέασα (sup. med. lit. ε sign. inc.) Marc.

(1047) θρ. λέγω F. — ἐπ. συναναμίξασα τῷ τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα M. G. F. R. V.

(1048) δεῦρο· ἐνταῦθα F. Adscr. ἴαμβοι.

1049. οὐδέποτ' Fl. Ven.

(1049) οὐ δή ποτ'. οὐκ ἄρα δι' ἄλλο F. — τί γάρ; τί γὰρ ἄλλο M. G. V. δι' ἄλλο γάρ τι F. ἄλλο δηλοῖ (l. δηλονότι) Cod. Vat. ap. Fr. l. l.

1050. δ' αὐτᾶς Marc. δ' αὐτᾶς Fl. Ven. δ' αὔτας (η sup.) F.

1050. — Σύστ. ἕτερον κώλ. ς' F. — Ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ς' ἀντισπαστικῶν· ὧν τὸ α' τρίμετρον βραχυκατάληκτον, τὸ β' πενθημιμερὲς, τὸ γ' δίμετρον ἀκατάληκτον, τὸ δ' τρίμετρον καταληκτικὸν, τὸ ε' ὅμοιον τῷ α', τὸ ς' ὅμοιον τῷ β'. V.

(1050) ἀμφὶ δ' αὐτ. περὶ σεαυτῆς (ἑαυτῆς G.) ἄτοπα φθέγγῃ M. G. F. R. V.

1051. ξουθα (η sup.) F.

(1051) νόμ. μέλος F. — ἄν. ἄμουσον F. ᾠδὴν (ἀδὴν G.) ἀηδῆ. παρὰ τὸν (τὸ G. ἀηδῆ· ἤτοι F. R. om. τὸν, V. om. π. τ.) κιθαριστικὸν δὲ (δὲ om. F.) νόμον φησὶν (φησὶ V. om. in F.) M. G. F. R. V. In G. ad ἴτυν refertur. In Cod. Vat. ap. Fr. l. l. ᾠδὴν ἀειδῆ παρακιθαριστικὸν δὲ νόμον φησίν. — τὸ ἑξῆς· θρηνεῖ (θροεῖς F.) νόμον ἄνομον ἀμφιθαλῆ (ἀμφιθαλλῆ R.) κακοῖς (στένουσα βίον add. F.) M. G. F. (Σχ. π.) R. V. — οἷά· ὥςπερ F. — ξουθά. ξανθή F.

1052. ἀκόρετος A. — βοᾷς Marc. βοᾶς Ven. Fl. βορᾶς F. — φεῦ ταλαίναις M. φεῦ ταλαίνας Marc. φιλοίκτοισι (φιλοίκτοις ταλαίναις Fl.) φρεσὶν F.

(1052) ἀκ. βορᾶς. ἤγ. ἄτροφος F.

Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
ἀηδὼν βίον.
Κα. *Ἰὼ ἰὼ λιγείας ἀηδόνος μόρον·*
περεβάλοντό γάρ οἱ πτεροφόρον δέμας
θεοὶ γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.
Χο. *Πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις ματαίους δύας,*
τὰ δ' ἐπίφοβα δυςφάτῳ κλαγγᾷ

1054. *ἀηδὸν* Marc. *ἀηδοῦ βίου* et *ἀηδῶν βίων* ex Pal. & Vat. in Schol. l. Franz. p. 316.

(1054) *ἀηδ.* *τοῦτο* (*ὡς* add. F.) *ἡδομένη τῇ μεταμορφώσει τῆς ἀηδόνος* (*τῇ τῆς ἀ. μ.* F.) *φησίν.* (*εἰ γὰρ καὶ ἐν ὄρεσιν ἐστίν, θρηνεῖ μόνῃ φωνῇ καὶ οὐ μετὰ κλαυμάτων* add. F.) M. G. F. (*Σχ. π.*) R. V. Post *φησὶ* sequitur in C. Pal. *διὰ τὸ δυςτυχῆ — ἀνωφελῶς* (cf. v. 1060)· cf. Fr. p. 316.

1055. *μόρον ἀηδόνος* H.

1055. — *Ἀντ. κῶλ. ε'* F. — *Ἀντ. τῆς ἄνω στροφῆς κῶλ. ὁμοίων ε'* V.

1056. *περιβάλοντο γὰρ οἱ* Marc. Leg. *πτερ. γάρ οἱ περὶ δέμας βάλοντο.*

(1056) *περιβαλόντες· εἰσὶ δηλονότι* F. — *οἱ. αὐτῇ* F.

1057. *αἰῶνα·* (cf. Sch.) *ἀγῶνα* T. p. ult. (ex Cod.) — *ἄτερ* Marc. G. A. R. (qui in Sch. l. *ἄτερ* habet).

(1057) *ἀγῶνα. γρ. αἰῶνα* (cf. 463). M. G. R. V. *αἰῶνα. ἀγῶνα* T. p. 212. — *κλ. εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ, φωνῇ μόνῃ* (*φωνεῖ μόνη* G. *φωνῆ μόνη* R.) *καὶ οὐ θρήνοις* M. G. R. V. Cf. F. ad 1054.

1058. *ἐμοὶ δε* Fl. F. Ven. — *σχῖσμος* (*τ* sup. *ι*) M.

(1058) *μιμν. ἀναμένει* F. — *σχ. φόνος* F. — *δορί. ξίφει* F. — *ἀμφ. δορί. τῷ πελέκει* M. G. Cf. Fr. p. 313.

1059. *τ'* om. H.

1059. — *Σύστ. ὅμοιον τῷ ἄνω κῶλ. ς'* F. — *Ἀντ. ἑτέρα τῆς τοῦ χοροῦ στροφῆς κῶλ. ὁμοίων ς'* V.

(1059) *ἐπ. ἐκ θεῶν ἐπερχομένους* F. — *δύας. συμφοράς* F.

1060. *τάδ'* Fl. Ven. Marc. G. *ταδ'* (grav. & ac. sup. *α*) M. — *ἐπιφόβωι* M. (corr. ex *ἐπιφόβαι*). *ἐπιφόβω* Marc. *ἐπὶ φόβα* (*ω* sup. *α*) Ven.

(1060) *ἐπιφόβ. ἀσαφεῖ, αἰνιγματώδει* M. — *δυςφ. διὰ τὸ δυςτυχῆ* (*δυςτυχεῖν* G.) *μαντεύεσθαι, ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ ἀνωφελῶς* (*θεσπίας τῆς μαντικῆς* add. R.) M. G. *ἀσαφεῖ καὶ* (*κ.* om. R. V.) *αἰνιγματώδει· ταῦτα δὲ φησὶ πρὸς αὐτὴν* (*αἰν. ἢ* R. V.) *διὰ τὸ δυςτυχῆ μαντ. ἢ — ἀνωφελῶς τὰ δεινά* (*τὰ δ. ἀν.* R. V.) F. (*Σχ. π.*) R. V. In C.

μελοτυπεῖς, ὅμου τ' ὀρθίοις ἐν νόμοις;
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
κακορρήμονας;

Κα. Ἰὼ γάμοι, γάμοι Πάριδος ὀλέθριοι
φίλων· ἰὼ Σκαμάνδρου πάτριον ποτόν·
τότε μὲν ἀμφὶ σὰς αϊόνας τάλαιν'
ἠνυτόμαν τροφαῖς·
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.

Χο. Τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω;
νεογνὸς ἀνθρώπων μάθοι·
πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ,
δυςαγγεῖ τύχᾳ, μινυρὰ κακὰ θρεομένας

Vat. ap. Fr. l. l. post ἀσαφεῖ, αἰν. sequitur ἢ διὰ τὸ προειδέναι τὰ δ. ἀν. — κλ. βοῇ F.

1062. Θεσπίας T. p. ult. (ex Cod.)

(1062) Θεσπ. ὁδ. τῆς μαντικῆς M. G. F. V. Cf. R. ad v. 1060.

1064. — Στρ. ἑτέρα κώλ. ς' F. — Ἑτέρα στροφὴ κώλ. ς' ἀντισπαστικῶν· ὧν τὸ α' καὶ β' τρίμετρον ἀκατάληκτον, τὸ γ' τρίμετρον βραχυκατάληκτον, τὸ δ' πενθημιμερὲς, τὸ ε' καὶ τὸ ς' ὅμοια τῷ πρώτῳ V.

(1064) ὀλ. φίλ. οἱ τοὺς φίλους ὀλέσαντες F.

1065. φιλωνι. ἰὼ Marc. — το (πον sup.) Ven.

1066. αϊόνας (η sup. α) F.

1067. * ν' ἠνυτόμαν F. ἠνυτόμην Sch. l. in Vat. cf. Fr. p. 316.

(1067) ἠν. ηὐξόμην M. G. V. ηὐξόμαν R. ἐτελειούμην, ηὔξανον F. — τρ. ἐν F.

(1068) ἀμφὶ Κωκ. ἤγ. ἐν ᾅδου F. Adscr. ἴαμβος.

(1069) Θεσπ. μαντεύσασθαι (sic) F. — τάχ. ἴσως ἢ ταχέως F.

1070. — Σύστ. ἕτερον κώλ. ε' F. — Ἑτέρα στροφὴ τοῦ χοροῦ κώλ. ε' ἀντισπαστικῶν· ὧν τὸ α' δίμετρον ὑπερκατάληκτον, τὸ β' ἑφθημιμερὲς, τὸ γ' τρίμετρον καταληκτικὸν, τὸ δ' ὅμοιον, τὸ ε' πενθημιμερές. V.

(1070) τορ. ἀληθές F. — ἔπ. ἀντὶ μιᾶς F.

1071. Leg. βροτῶν ἂν νεόγονος.

(1071) νεογν. ἀντὶ μιᾶς F.

1072. δάκει H.

(1072) πέπληγμαι. τέτρωμαι F. — ὑπ. ὑπό F.

1073. δυςαγγεῖ Ven. δυςαλγεῖ C. — τύχα (η sup.) F. — μινύρα Fl. Ven. — θρεομένας (η sup.) F. θρευμένας Seidl.

θραῦματ' ἐμοὶ κλύειν.
Κα. Ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας
τὸ πᾶν· ἰὼ πρόπυργοι θυσίαι πατρός,
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥςπερ οὖν ἔχει παθεῖν·
ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ.
Χο. Ἑπόμενα προτέροις τάδ' ἐφημίσω·
καὶ τίς σε κακοφρονεῖν τιθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων
μελίζειν πάθη γοερὰ θανατηφόρα·
τέρμα δ' ἀμηχανῶ.
Κα. Καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων

(1073) δυς. ἠγ. βαρείᾳ F. — μίνυρα. θρηνητικά F. — θρ. συνίζησις Fl. ἀντὶ μιᾶς· λεγούσης αὐτῆς F.

(1074) κλ. ἀκούειν F.

1075. πόλεως ὀλωμένας Ven. Fl. ὀλουμένας (η sup.) F.

1075. — Ἀντ. κώλ. ς' F. — Ἀντ. τῆς ἄνω στροφῆς κώλ. ὁμοίων ς' V.

(1075) πόλ. τῆς Τροίας F. — ὀλ. φθαρείσης F.

(1076) τὸ πᾶν. παντελῶς F. — πρ. αἱ πρὸ τῆς πόλεως γινόμεναι F.

(1077) πολ. αἱ πολλὰ τέμνουσαι ζῶα F. — ποιον. τῶν ἐν ποαῖς νεμομένων F. — ἄκ. θεραπεία F.

(1078) ἐπ. ἐπεγένετο εἰς βοήθειαν F.

1079. ἔχειν Fl. Ven.

(1079 sq.) In F. adscr. ἴαμβοι.

1080. θερμὸν οὖς C. — ἐν πέδῳ Cas.

1081. προτέροισι De P.

1081. — Σύστ. ὅμοιον τῷ ἄνω κώλ. ε' F. — Ἀντ. τοῦ χοροῦ κώλ. ὁμοίων ε'. V.

(1081) ἐπ. ἀκόλουθα F. — ἐφ. ἔλεξας F.

1082. Leg. σέ καὶ τις κακοφρονεῖν.

(1083) ἐμπ. ὑπερεμπίπτων F.

(1084) μελ. ἐμμελῶς λέγειν F.

1086. — Εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ', ὧν τελευταῖος καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ. Μετὰ δὲ τὸν λς' κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· μετὰ δὲ τὸν ρκζ' κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον· μετὰ δὲ τὸν ρλδ' κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον

ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐςήξειν, ὥςτε κύματος δίκην
κλύειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων·
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
Τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
σύμφθογγος οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
Καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει
δύςπεμπτος ἔξω συγγόνων Ἐρινύων·
ὑμνοῦσι δ' ὕμνον δώμασι προςήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυςμενεῖς.
Ἥμαρτον, ἢ τηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι, θυροκόπος φλέδων;

V. — *Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ρ'μθ', ὧν τελευταῖος* καὶ — πολύ. *Μετὰ δὲ τὸν λγ' κῶλον ἰαμβ.* — *ἀκατάληκτον. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς* F. (*Ἡμ.*)

1087. *νύμφης* Ven. F.

(1087) *δεδ. φαινόμενος* F.

1089. *ἐςήξειν* Fl. Ven. *ἐς ἥξειν* F.

(1092) *μαρτ. ἐμοί* F. — *ἴχν. ἤτοι τὴν ἀρχήν* F.

(1093) *ῥιν. ἐρευνούσῃ* (sic) F. — *πάλ. τῶν τοῦ Θυέστου λέγει* F.

1095. *ξύμφθογγος* F.

(1095) *ξύμφθ. ὁμόφωνος* F.

1098. *δύςπεπτος* (*μ* inf. scr.) Fl.

(1098) *δύςπ. οὐ γὰρ ἐξέρχεται τῶν οἴκων* F.

1099. *δώμασιν* Pors.

(1099) *πρ. προςκαθήμεναι* F.

1101. *παθοῦντι* F.

(1101) *τῷ πατ. τῷ παραβαίνοντι τοὺς νόμους* F. — *δυςμ. ἐχθράς* F.

1102. *θηρῶ* C.

(1102) *ἥμ. ἀπέτυχον* F. — *τηρῶ. ἐπιτηρῶ* F. — *ὡς. ὥςπερ* F.

ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
Καὶ πῶς ἂν ὅρκος, πῆμα γενναίως παγέν,
παιώνιον γένοιτο; θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν ὥςπερ εἰ παρεστάτεις.
Κα. Μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει·
προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
Χο. Μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.
Κα. Ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν.
Χο. Ἦ καὶ τέκνων εἰς ἔργον ἤλθετον νόμῳ;
Κα. Ξυναινέσασα Λοξίαν ἐψευσάμην.
Χο. Ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;

1104. *προυμόσας* Fl. F. Ven.
(1104) *πρ. βεβαιώσας* F. — *τό μ'. τὸ ἐμέ* F.
1106. *πῆγμα* Pors.
(1106) *πῆμα. εἰς ἁμαρτίαν γεγονυῖαν καὶ παγῆσαν* (l. *παγεῖσαν·* cf. vs. 619).
1107. *παίωνιον* F.
(1107) *παιών. θεραπευτικὸν πρᾶγμα* F.
(1108) *ἀλλ. ὥςτε ἀλλόγλωσσον* F. — *πόλ. εἰς* F.
(1109) *παρ. ἐνταῦθα ᾖσθα* F.
1110. *ἐπέστησε* (adiecto in fine *ν*) Fl. In Fl. F. Ven. alternis Cass. & Ch. ad vs. 1122 loquuntur, at in Fl. post 1114 singulis versibus usque ad 1123 lineola praefixa. In V. C. is ordo, quem secuti sumus.
(1110) *τῷδ'. τῷ γινώσκειν τὰ τοιαῦτα* F.
(1111) *προτ. πρότερον* F. — *λέγ. ἤτοι πόθεν ἔχεις τοῦτο* F.
(1112) *ἱμ. ἔρωτι* F. — *πεπλ. ἐστίν* F.
1113. *ἀβρύνεται* Fl. Ven. *ἁβρ.* V. C. In F. *βαρύνεται.*
(1113) *βαρύν.* Adscr. in F. *ὡραϊσμός.*
(1114) *παλ. ἤγ. ἐμάχετο συνευνηθῆναι μοι* F. — *κάρτ'. λίαν* F. — *πν. μεγίστας μοι διδοὺς χάριτας* F.
1115. *ἠλθέτην* Elmsl.
(1115) *τέκν. ἤγ. συνήλθετε γαμικῶς* F.
(1116) *ξυν. συγκατατεθεῖσα* F.
(1117) *ἠρ. κεκρατημένη* F.

Κα. *Ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.*
Χο. *Πῶς δῆτ' ἄνακτος ἦσθα Λοξίου κότῳ;*
Κα. *Ἔπειθον οὐδὲν οὐδέν ὡς τάδ' ἤμπλακον.*
Χο. *Ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.*
Κα. *Ἰοὺ ἰού, ὢ ὢ κακά·*
ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις.
Ὁρᾶτε τούςδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προςφερεῖς μορφώμασιν;
παῖδες θανόντες ὡςπερεὶ πρὸς τῶν φίλων
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
Ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
Νεῶν τ' ἄπαρχος Ἰλίου τ' ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα καὶ κτείνασα φαιδρόνους, δίκην

1119. ἄνατος C.
(1119) ἄνακτ. ἦγ. πῶς ὀργῆς ἐπειράθης τοῦ Ἀπόλλωνος F.
1120. οὐδέν' οὐδέν C.
(1120) τάδ'. τὸ ὑπακοῦσαι ἐκείνῳ F. — ἤμπλ. ἥμαρτον F.
1122. ἰοὺ ἰού. ὢ κακά Ven.
1124. ἐφημένοις Ven. ἐφημίοις * V. C. δυςφροιμίοις H.
1127. ὡς πόρεις Mart. Hart.
1131. ποινὰς φημὶ Fl. F. Ven. V. C.
(1131) ποιν. τιμωρίας F. — τινά. τὸν Αἴγισθον F.
(1132) ἄν. ἄνανδρον F.
(1133) τῷ μολ. τοῦτο πρὸς τὸ βουλεύειν σύναπτε F.
(1134) φέρ. τοῦτο λέγει διὰ τὸ εἰπεῖν τῷ ἐμῷ δεσπότῃ F.
1135. ἔπαρχος C.
(1135) ἄπ. ἄρχων F. — ἀν. πορθητής F.
(1136) μισ. τῆς Κλυταιμνήστρας F.
1137. λέξᾶσα καὶ κτείνᾶσα Fl. κἀκτείνασα C.

ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ.
Τοιάδε τόλμα θῆλυς ἄρσενος φονεύς
ἐστίν· τί νιν καλοῦσα δυςφιλὲς δάκος
τύχοιμ' ἄν; ἀμφίσβαιναν ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μήτερ' ἄσπονδόν τ' ἀρὰν
φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
ἡ παντότολμος, ὥςπερ ἐν μάχης τροπῇ·
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
Καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει· καὶ σύ μὴν τάχει παρὼν
ἄγαν γ' ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.
Χο. Τὴν μὲν Θυέστου δαῖτα παιδίων κρεῶν
ξυνῆκα καὶ πέφρικα καὶ φόβος μ' ἔχει
κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα·
τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.
Κα. Ἀγαμέμνονός σε φημ' ἐπόψεσθαι μόρον.

(1138) λαθρ. κεκρυμμένης F.
(1140) νιν. αὐτήν F. — δυςφ. ἤγ. μισητόν F. — δάκ. θηρίον F.
1141. Σκυλλάν τινά Fl. Σκύλλάν τινα F. Σκυλλάν τινα Ven. Σκύλλαν τινὰ V. C.
1143. θύουσαν. ἄδου F.
(1143) θύουσ. ὁρμῶσαν F. — ἀρ. βλάβην F.
(1144) ὡς. λίαν F. — ἐπωλ. ἀνεσκίρτησεν, ἠλάλαξεν F.
(1146) νοστ. ἤγ. ὅτι ὑπέστρεψε σεσωσμένος ὁ Ἀγαμέμνων F.
1148. μ' ἐν Aur. Abr.
1149. γ' del. Both.
(1149) ἀλ. ἀληθῆ μαντευομένην F. — ἐρ. λέξεις F.
1150. παιδείων Schütz.
(1150) δαῖτα. εὐωχίαν F.
(1151) ξυν. ἐνόησα F. — πέφρ. φοβοῦμαι, συστέλλομαι F.
1152. κλύοοντ' Ven.
(1152) ἐξεικ. ἀλλ' ἀληθῆ F.
(1153) ἐκ δρ. ἔξω τοῦ καθεστηκότος φέρομαι F.
1154. Ἀγαμέμνονος σέ Fl. F. V. C.
(1154) ἐπ. ἰδεῖν F. — μόρ. θάνατον F.

Χο. Εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.
Κα. Ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.
Χο. Οὐκ, εἰ παρέσται γ'· ἀλλὰ μὴ γένοιτό πως.
Κα. Σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀποκτείνειν μέλει.
Χο. Τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄχος πορσύνεται;
Κα. Ἦ κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν.
Χο. Τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
Κα. Καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.
Χο. Καὶ γὰρ τὰ πυθόκραντα· δυςμαθῆ δ' ὅμως.
Κα. Παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι·
ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἲ ἐγὼ ἐγώ·
αὕτη δίπλους λέαινα συγκοιμωμένη
λύκῳ λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ·

1156. οὔτι Ven.

(1156) παιών. ἰατρός F.

1157. εἴπερ ἔσται γ' Schütz. In Ven. nulla personarum nota ad vss. 1157 sqq.; ad 1160 sqq. Ch.; a vs. 1164 Cass.

(1158) τοῖςδ'. Αἰγίσθῳ καὶ Κλυταιμνήστρᾳ F. — μέλ. διὰ φροντίδος ἐστὶν F.

1159. τίνος F.

(1159) τοῦτ' ἄχ. αὕτη ἡ λύπη F. — πορσ. δίδοται F.

1160. ἀρὰν C. p. 347. — παρεσκοπεις (η sup. ει) Fl. Ven. παρεσκόπης F.

(1160) ἦ. ὄντως F. — κάρτ'. λίαν F. — παρ. ἔξω βλέπεις ἢ ἔβλεπες F.

(1161) ξυν. ἐνόησα F.

(1162) Ἕλλ. Ἑλληνικήν F. — ἐπ. ἤγ. Ἑλληνικὰ φθέγγομαι F.

1163. δυςμαθῆ F. C.

(1163) Πυθ. οὐ συνῆκα F. — δ'. γάρ F.

1164. παπαί. οἷον Fl. Ven. παπαί· οἷον τὸ πῦρ. F. τόδ' οἷον πῦρ H. Cf. id. ad 452.

(1164) παπ. φεῦ F. — οἷον τό. κοινη Fl. — δέ. γάρ F.

1166. δίπους V. C.

1169. μισθὸν ἐνθήσει Ven. ἐνθήσει (ν post adscriptum) F. ἐνθήσειν κότῳ ἐπ. H.

(1169) μισθ. μνειαν Fl. — κότ. τῇ ὀργῇ αὐτῆς F.

ἐπεύχεται, θήγουσα φωτὶ φάσγανον,
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ·
ἴτ' ἐς φθόρον πεσόντ'· ἀγαθὼ δ' ἀμείψομαι·
ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε.
Ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ'· ἐποπτεύσας δέ με
κὰν τοῖςδε κόσμοις καταγελωμένην μετὰ
φίλων ὑπ' ἐχθρῶν, οὐ διχορρόπως μάτην·
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχός, τάλαινα, λιμοθνὴς ἠνεσχόμην.
Καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάςδε θανασίμους τύχας·
βωμοῦ πατρῴου δ' ἀντεπίξηνον μένει

(1170) θήγ. ἀκουοῦσα F. — φωτί. τῷ ἀνδρὶ αὐτῆς F. — φάσγ. ξίφος F.
1171. ἀντιτίσασθαι F.
(1171) ἀγ. κομίσεως ἐνθάδε F. — ἀντιτ. ἀντιδοῦναι F.
(1172) τάδε. τὰ ἐσθήματα F.
(1173) μαντ. μαντικά F. — στ. ἤγ. στεφάνους F.
(1174) σὲ μέν. ὦ στολή Fl. πρὸς τὴν ἑαυτῆς ἐσθῆτα τοῦτο λέγει, σχίζουσα τὰ ἑαυτῆς ἱμάτια F.
1175. πεσόντ' ἀγαθὼ δ' ἀμείψομαι (corr. ex ἀμείβομαι) Fl. ἀγαθώ F. ἀγαθὼ δ' ἀμείψομαι Ven.
(1175) ἴτ'. ἔλθετε F. — ἀγ. ἀντὶ τοῦ καλλίω F.
1176. ἀλλήν τιν' Ven.
1177. ἰδού δ' F.
1178. ἐπόπτευσας Fl. ἐποπτεύσας Ven.
(1178) χρ. μαντικήν F. — ἐπώπτευσας· εἶδες F.
1179. μετὰ Fl. μέτα. F. Leg. μ' ἐᾷ.
1180. φίλων, ὑπ' ἐχθρῶν. Fl. φίλων, ὑπ' ἐχθρῶν F. Ven.
(1181) φοιτ. μανική F.
(1183) ἐκπρ. ἤγ. φονεύσας F.
1185. δ' ἀντεπίξηνον Fl. ἄντ' ἐπίξηνον Abr. ἀντ' ἐπ. Aur.
(1185) ἀντεπίξηνον· ἐναντίον· διάδοχον ἐμοῦ τῆς ξένης F. — μέν. ἀναμένει F.

θερμῷ κοπείσης φοινίῳ προσφάγματι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν·
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆςδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάςδε θριγκώσων φίλοις·
ἄξει νιν ὑπτίασμα κειμένου πατρός.
Τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω,
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν· οἳ δ' εἷχον πόλιν
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει;
ἰοῦσα πράξω· τλήσομαι τὸ κατθανεῖν·
ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας·
Ἅιδου πύλας δὲ τὰς λέγω προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.
Χο. *Ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφή,*
γύναι, μακρὰν ἔτεινας· εἰ δ' ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου

1186. *φοίνιον* Haupt.
(1186) *κοπ.* *τυφθείσης, σφαγείσης* F.
(1188) *ἄλλ.* *τὸν Ὀρέστην λέγει* F. — *τιμ.* *βοηθός* F.
(1189) *φίτ.* *γέννημα* F. — *ποιν.* *τιμωρὸς, ἐκδικητής* F.
1190. *φυγάς δ' ἀλλή τις* F.
(1191) *κάτ.* *ἐλεύσεται* F.
1192. *ἄξειν νιν* Fl. *ἄξεινιν* F. *ἄξεινἳν* Ven.
(1192) *ὑπτ.* *ἡ ὑπτία κατάκλισις, ἤγ. τὸ νεκρὸν αὐτὸν εἶναι* F.
(1196) *ἀπ.* *ἀπήλλαξαν ἑαυτοὺς τῶν ἐνθάδε* F.
1198. Hunc vs. H. sine causa ante 1192 (*ἄξειν* —) inseruit.
1199. *δὲ τὰς, λέγω,* F. *τάςδ' ἐγὼ* C.
(1201) *ἀσφ.* *ἀτάραχος* F.
(1202) *συμβ.* *συγκλείσω* F.
(1204) *μακρ.* *ἔτ.* *πολλὰ εἴρηκας* F. — *ἐτ.* *ἀληθῶς* F.
1205. *αὐτῆς* Fl. Ven. *αὑτῆς* F. V. C.
(1205) *οἶσθ.* *γινώσκεις* F.

βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;
Κα. Οὐκ ἔστ' ἄλυξις, οὔ, ξένοι· χρόνῳ πλέω.
Χο. Ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.
Κα. Ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.
Χο. Ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.
Κα. Οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
Χο. Ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
Κα. Ἰὼ, πάτερ, σοῦ τῶν τε γενναίων τέκνων.
Χο. Τί δ' ἐστὶ χρῆμα; τίς σ' ἀποστρέφει φόβος;
Κα. Φεῦ φεῦ.
Χο. Τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.
Κα. Φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.
Χο. Καὶ πῶς τόδ' ὄζει θυμάτων ἐφεστίων.
Κα. Ὅμοιος ἀτμὸς ὥςπερ ἐκ τάφου πρέπει.
Χο. Οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.

1207. *ἄλυξις οὔ. ξένοι χρόνῳ πλέῳ* F. *οὔ ξένοι χρόνω πλεωι* Ven.

(1207) *ἄλ. ἐκφυγή* F. — *ξέν. ὦ* F. — *χρ. ἐν* F. — *πλέῳ. πολλῷ* F.

(1208) *δ'. γάρ* F. — *πρ. τίμιός ἐστίν* F. *τίμιός ἐστι παρ' ἀνθρώποις, φησὶν, ὁ ὕστατος χρόνος· ὅταν γὰρ πρὸς τὸ τέλος ἥκωσι καὶ τὸ βραχὺ ζῆσαι, κέρδος ἡγοῦνται* F. (*Σχ. π.*)

(1209) *φυγ. ἐν* F.

(1210) *ἴσθι. γίνωσκε* F. — *τλ. ἀθλία* F. — *ἀπ'. εἰ καὶ δοκεῖς τολμηρά* F.

1211 sq. Hos vss. Heath transposuit.

(1211) *τῶν εὐδ. τῶν γενναίων καὶ εὐγενῶν* F.

(1212) *εὐκλ. ἐνδόξως* F.

1213. *σῶν τε* Aur.

(1213) *σοῦ· ἕνεκα* F.

1214. *δ' ἔστι* Fl.

(1215) *φεῦ φεῦ. ἀπολοφυρομένη λέγει τοῦτο ἐν τῷ εἰςιέναι· ὀκνεῖ γὰρ εἰςελθεῖν, ὥς τι δεινὸν ὁρῶσα* F. (*Σχ. π.*) V.

(1216) *ἔφ. τὸ φεῦ εἴρηκας* F. *διατί φησι τὸ φεῦ εἰ μὴ ἐκφοβῇ καὶ πῶς λέγεις τὸ φεῦ· ἐκ τούτου γὰρ τὸ ἔφευξας ἐσχημάτισεν* F. (*Σχ. π.*) — *στ. μῖσος ἔστι σοι* F.

1218. *ὄζει. θυμάτων* Fl.

(1218) *ὄζ. ὀσμὴν φέρει* F.

(1220) *Σύρ. ἀπὸ Συρίας* F. — *ἀγλ. ἤτοι λιβανωτόν* F. V. *ὃ λέγεις, φησὶν, οὐκ ἔστι θυμίαμα· νῦν δὲ τεθυμίαται ὁ δόμος* F. (*Σχ. π.*)

Κα. Ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν· ἀρκείτω βίος.
Ἰὼ ξένοι·
οὔτοι δυςοίζω θάμνον ὡς ὄρνις φόβῳ·
ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε·
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυςδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ·
ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.
Χο. Ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.
Κα. Ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς· ἡλίῳ δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς, τοῖς ἐμοῖς τιμαόροις
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ
δούλης θανούσης εὐμαροῦς χειρώματος.
Ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἀντρέψειεν· εἰ δὲ δυςτυχῆ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφήν·

(1224) δυς. δυςχεραίνω Fl. F. οὐ δυςχεραίνω, φησίν, ὡς ὄρνις θέλουσα εἰς καλιὰν εἰςελθεῖν καὶ θῆρά τινα φοβουμένη F. (Σχ. π.) V. — θάμν. ἤτοι τὴν ἐν θάμνοις καλιάν F.

(1226) γυνή. ἡ Κλυταιμνήστρα F.

1227. ἀνὴρ τὲ Fl. Ven.

(1227) ἀν. ὁ Αἴγισθος F. — δυςδ. ὁ κακὴν ἔχων γυναῖκα F. — ἀνδρ. τοῦ Ἀγαμέμνονος F.

(1228) ἐπ. φιλιοῦμαι Fl. V. φιλικῶς δίδωμι αὐτοῖς ὥς τινα κλῆρον F.

(1229) θεσφ. ἤγ. τοῦ προμαντευθέντος σοι F.

(1232) ὕστ. ὃ ὕστατον βλέπω F. — τιμ. τιμωροῖς Fl. βοηθοῖς F.

1233. τοῖς ἐμοῖς, τίνειν ὁμοῦ Fl. F.

(1233) τίν. διδόναι, τιμωρίαν δηλονότι F.

(1234) δουλ. ἕνεκα F. — εὐμ. λέγω F. εὐκόλου· εὐχείρωτοι γὰρ οἱ δοῦλοι F.

(1235) In F. adscr. ὡραϊσμός.

1236. ἂν τρέψειεν Pors.

(1236) σκ. ἤτοι καὶ μικρόν τι συμβὰν μεταβαλεῖ. In Ven. adscr. σῆ.

1237. ὤλεσεν Inc.

(1237) In Ven. adscr. ὅ

καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.

Χο. *Τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ*
πᾶσι βροτοῖς· δακτυλοδείκτων δ'
οὔτις ἀπειπὼν εἴργει μελάθρων,
μηκέτι δ' εἰςέλθῃς τάδε φωνῶν.
Καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου,
θεοτίμητος δ' οἴκαδ' ἱκάνει·
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσει,
καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
ποινὰς θανάτων ἐπικρανεῖ,
τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;

Αγ. *Ὤμοι πέπληγμαι καιρίαν πληγὴν ἔσω.*

(1238) In Ven. adscr. *λον*. Cf. (1237).

1239. — *Εἴσθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι· τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ιβ', ὧν τὸ ϛ' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ* V. — *Σύστ. κῶλ. ιβ'* F. *Σύστ. κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ιβ', ὧν τὸ ϛ' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα· ἐπὶ τῷ τέλει παράγραφος* F. (*Ἡμ.*)

1240. *βροτοῖσιν* De P. — *δακτυλόδεικτον* Cas.

(1240) *δακτ. οὐδὲ τῷ δακτύλῳ τίς παραδεικνὺς αὐτῷ τὸν μόρον ἀποστήσει τοῦ οἴκου. οὐ γάρ ποτέ τι τοιοῦτον ὑποπτεύσει* F. (*Σχ. π.*)

1242. *δ' εἰςέλθῃς τάδε* Fl. F. Ven. *μηκέτ' ἐςέλθῃς* H.

1244. *Πριάμου διὰ παντός* H.

(1244) *μάκ. οἱ θεοί* F.

(1245) *ἱκ. ἦγ. ἦλθεν* F.

(1246) *πρ. ἤτοι τῆς Ἰφιγενείας* F. — *αἷμ'. φόνον* F. — *ἀπ. ἀποδώσει* F.

1248. *ἐπικραίνει*, H.

(1248) *ἐπ. τελέσει* F.

1249. *τίς ποτ' ἂν* Abr. H.

(1249) *ἀσ. ἀπαθεῖ. ἐκτὸς γὰρ πάθους τὸ θεῖον* F.

(1250) *δαίμ. θεῷ* F. — *φῦν. γεννηθῆναι, εἰ οὕτω συμβαίνει τὰ πράγματα* F.

1251. — *Εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς· οἱ δὲ στίχοι εἰσὶν ξδ', ὧν ὁ β' καὶ δ' καὶ ε' τροχαϊκοὶ τετράμετροι καταληκτικοί· οἱ*

Χο. Σῖγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;
Αγ. Ὤμοι μάλ' αὖθις δευτέραν πεπληγμένος.
Χο. Τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγμασιν.
Ἀλλὰ κοινωσώμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.
Χο. Ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.
Χο. Ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν σὺν νεορρύτῳ ξίφει.
Χο. Κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαι τι δρᾶν· τὸ μὴ μέλλειν δ' ἀκμή.
Χο. Ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς

δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος ἔργον δικαίας τέκτονος· τάδ' ὧδ' ἔχει. V. — *Ἀμοιβαῖοι οὗτοι στίχοι εἰσὶν κθ'· ὧν ὁ δεύτερος, δ' καὶ ε' τροχαϊκοὶ τετράμετροι καταληκτικοί, οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως. Ἐπὶ τῷ τέλει κορωνίς* F. (*Ἡμ.*)

1252. *σῖγα* Fl. F. Ven.

(1252) *σῖγ. σιωπηλῶς ἔχε* F. — *ἀϋτ. βοᾷ* F. — *οὐτ. τετρωμένος* F.

1254. *τοὖργον εἰργᾶσθαι* Fl. *τοὖργον εἰργᾶσθαι* Ven. F. — *οἰμώγμασιν* Fl.

1254. — *Σῆ. πεντεκαίδεκά εἰσιν οἱ τοῦ τραγικοῦ χοροῦ ὑποκριταί· καὶ ἕκαστος αὐτῶν δίστιχον γνώμην λέγει· εἰπόντων δὲ τῶν ιβ', πρὶν καὶ τοὺς πεντεκαίδεκα εἰπεῖν προλαβοῦσα ἐξῆλθεν ἡ Κλυταιμνήστρα. ἀμίμητον γάρ, μετὰ τὸ πάντας εἰπεῖν τὰς οἰκείας γνώμας ὥςπερ ἀπὸ συνθήματός τινος τότε ἐξελθεῖν τὴν γυναῖκα. ἐπίτηδες δὲ τὴν διακοπὴν ἐποίησεν ὁ ποιητής, δυοῖν στοχαζόμενος, μήτε αἰσχρὰν θέλων ποιῆσαι τὴν κρίσιν τῶν ὑπηκόων προεμένων τὸν βασιλέα, μήτε ἐπικίνδυνον τὴν πρᾶξιν προπετῶς εἰςιόντων εἰς τὰ βασίλεια. Εἰσὶ δὲ οἳ ἕκαστον ὀκτάστιχον ἑνός φασιν εἶναι στίχου τοῦ χοροῦ, ἵνα τρεῖς ὄντες οἱ στίχοι ἀνὰ τεσσάρων διστίχων εἴπωσιν. εἰς τρεῖς γὰρ στίχους διαιρεῖται ὁ χορὸς ιε' ὢν ὑποκριτῶν* F. (*Σχ. π.*).

(1254) *εἰργ. γεγονέναι* F. — *οἰμ. ἐν* F.

1255. *ἅν* H.

(1255) *κοιν. εἰς κοινὸν λέξωμεν* F. — *ἀσφ. βέβαια* F.

(1257) *ἀστ. τοῖς πολίταις* F.

(1258) *ὅπ. λίαν* F.

(1259) *σὺν νεορρ. ἤγ. ἰδόντας τὸ νεόρρυτον ξίφος* F.

(1260) *τοιούτ. κοινὴ* Fl. In F. suprascr. ∟ — *γν. ἤγ. γνώμης* F.

(1261) *ἀκμή. ἤγ. καιρός ἐστι μὴ μέλλειν* F.

(1262) *φρ. προκατασκευάζουσιν* F.

τυραννίδος σημεῖα πράσσοντες πόλει.
Χο. Χρονίζομεν γάρ· οἳ δὲ τῆς μελλοῦς κλέος
πέδον πατοῦντες οὐ καθεύδουσιν χερί.
Χο. Οὐκ οἶδα βουλῆς ἥςτινος τυχὼν λέγω·
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
Χο. Κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυςμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.
Χο. Ἦ καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖςδ' ἡγουμένοις;
Χο. Ἀλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ κατθανεῖν κρατεῖ·
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
Χο. Ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;

(1263) τυρ. βασιλείας F. — πρ. ἤγ. ὡς καθέξοντες τὴν τυραννίδα F.
1264. οἱ δὲ, μελλούσης Fl. F. οἱ δὲ τῆς μελλούσης Ven.
(1264) χρ. βραδύνομεν F. — μελλούσης. τυραννίδος δηλονότι F.
[1264] TRYPH. *de trop.* (Mus. Crit. Cantabr. I p. 49): λέγεται ὀνοματοποιΐα — κατὰ παρονομασίαν, Χρυσῶ ἀπὸ τοῦ χρυσοῦ· οὕτως ὠνόμασται καὶ παρ' Αἰσχύλῳ Μελλῶ· χρονίζομεν ὧδε, τῆς μελλοῦς χάριν. — MANUEL MOSCHOP. *Opusc.* p. 78: καὶ παρ' Αἰσχύλῳ ὠνόμασται· χρονίζομεν ὧδε, τῆς μελλοῦς χάριν.
1265. πέδοι H.
(1265) οὐ καθ. οὐχ ἡσυχάζουσιν, ἀλλ' ἐνεργοῦσιν F.
(1266) οὐκ οἶδα, φησὶν, ποίαν εἰπὼν βουλὴν ἐπιτύχω· κἂν γὰρ βουλεύσωμαι, πρᾶξαι οὐ δύναμαι. ἀνήνυτος δὲ δίχα πράξεως ἡ βουλή F. (Σχ. π.)
1267. δρῶντος ἐστὶ Fl. F.
(1267) τοῦ δρ. ἤγ. ὁ δυνάμενος δρᾶσαι, ἐκεῖνος καὶ βουλευέτω F.
(1268) τοιοῦτ. κοινη Fl. In F. suprascr. L.
1270. τείνοντες C.
(1270) κτείν. ἤγ. τρόπον τινὰ τῷ θανάτῳ παραδιδόντες τὴν ζωὴν ἡμῶν F. — ὑπ. ἤγ. ὑποταγῶμεν F.
(1271) κατ. ἤγ. τοῖς αἰσχύνουσι τοὺς δόμους ἄρχουσιν F.
(1272) ἀν. ὑπομονητόν F.
(1273) πεπ. ὡριμωτέρα, γλυκυτέρα (ἢ τοῦ θανάτου add. F.) Fl. F. V. ἡδύτερός ἐστι (ἐ. om. Fl. V.), φησὶν, ὁ θάνατος ὁ ὑπὲρ τῶν δεσποτῶν (ὁ ὑπ. τ. δ. om. Fl.) τῆς τυραννίδος F. (Σχ. π.) Fl. V.
(1274) οἰμ. ἐνταῦθα τὸ ἀνδρὸς σύναπτε F.
(1275) μαντ. στοχασόμεθα τὸν ἐκείνου θάνατον F.

Χο. Σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι·
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
Χο. Ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
τρανῶς 'Ατρείδην εἰδέναι κυροῦνθ' ὅπως.
Κλ. Πολλῶν πάροιθεν καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι·
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονὴν ἀρκύστατον
φράξειεν ὕψος κρεῖσσον ἐκπηδήματος;
'Εμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
νίκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις·

(1276) σάφ'. σαφῶς F. — μυθ. λέγειν F.

(1277) τοπ. ὑπονοεῖν F. — σάφ'. φανερῶς F. — δίχ. κεχωρισμένον ἐστίν F.

(1278) ἐπ. ἐπαινοῦμεν διαφόρως ταύτην (τὴν add. F.) γνώμην, τὸ μαθεῖν ἐν οἵα (οἵᾳ V.) ἐστι (ἐστὶν V.) καταστάσει ὁ βασιλεύς F. (Σχ. π.) V. — πάντ. ἐκ πάντος τρόπου F. — πλ. πλήρης γίνομαι F.

(1279) τρ. φανερῶς F. — εἰδ. γνῶναι F. — κυρ. ὑπάρχοντα F.

1280. πάροιθεν Fl. F.

1280. — Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλλήκτων (sic) λε', ὧν τελευταῖος ἔργον δικαίας τέκτονος· τάδ' ὧδ' ἔχει· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. F. (Σχ. π.)

(1281) τάν. οὐκ ἐρυθριάσω τῶν εὐκαίρως προειρημένων τἀναντία εἰπεῖν F.

(1282) πορσ. διδούς F.

(1283) πημ. τιμωρίαν F. — ἀρκ. ἄφυκτον F. V.

1284. φρίξειεν Ven. — κρείσσον' Haupt.

(1284) φρ. ποιήσει δίκην φραγμοῦ εἰ μὴ μετ' ἀπάτης F. — (1282 sqq.): πῶς τοῖς ἐχθροῖς, φησιν, ἐπηρεάσαι τίς δύναται, ὅταν φίλοι δοκῶσιν, εἰ μὴ δι' ἀπάτης. τὸ δὲ ὕψος κρεῖσσον ἐκπηδήματος τοῦτο σημαίνειν βούλεται, ὅτι ὁ φιλικῶς ὑπερχόμενος τινὰ καὶ ἀπατῆσαι βουλόμενος, εἰς ἄφυκτον φραγμὸν ἐμπλέκει αὐτὸν τῆς ἀπάτης, ὡς μὴ δύνασθαι ὑπερβαλέσθαι αὐτόν. τροπικῶς δὲ ταῦτα λέγει συνήθως F. (Σχ. π.)

(1285) οὐκ ἀφρ. ἀλλὰ μελετώμενος πάλαι F.

1286. νείκης Heath.

(1286) ἦλθε. ἀγών F. — σὺν χρ. ἤγ. διὰ χρόνου F.

1287. ἔπεσ' Fl.

(1287) ἔπ. ἔτυψα F. — ἐξ. τετελεσμένοις F.

οὕτω δ' ἔπραξα — καὶ τάδ' οὐκ ἀρνήσομαι —
ὡς μήτε φεύγειν μήτ' ἀμύνασθαι μόρον.
Ἄπειρον ἀμφίβληστρον ὥςπερ ἰχθύων
περιστιχίζω, πλοῦτον εἵματος κακόν·
παίω δέ νιν δίς, κἀν δυοῖν οἰμώγμασιν
μεθῆκεν αὐτοῦ κῶλα, καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
Οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών,
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ Διὸς νότῳ
γᾶν, εἰ σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
Ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι·
εἰ δ' ἦν πρεπόντων ὥςτ' ἐπισπένδειν νεκρῷ,
τάδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν·

(1288) *ἔπρ. ἐποίησα* F.

(1289) *οὐ φεύγω, φησίν, οὐδὲ τὴν πρᾶξιν ἀρνοῦμαι. οὕτως αὐτὸν ἐφόνευσα, ὡς μήτε δύνασθαι φεύγειν μήτε ἀμύνασθαι* F. (*Σχ. π.*)

(1290) *ἄπ. ἄτρητον* F. — *ἀμφ. δίκτυον* F.

(1291) *περ. περιβάλλω* F. — *πλ. ἤγ. πολυτελὲς ἱμάτιον* F.

(1292) *παίω. ὦ μιαρωτάτη* F. — *νιν. αὐτόν* F. — *οἰμ. στεναγμοῖς* F.

(1293) *μεθ. ἐξήπλωσεν* F.

1295. *Διὸς* Eng.

(1296) *αὑτοῦ* Schütz. — *ὁρμ. μετὰ ὁρμῆς ἐκβάλλει* F.

(1297) *κἀκφ. ἐκπέμπων* F. — *ὀξ. σφοδράν* F.

(1298) *ἐρ. μελαίνῃ* F. — *ψακ. σταλαγμῷ* F. — *φοιν. φονικῆς* F.

1299. *διοςδότῳ* Pors.

(1299) *ἧσσ. ἔλαττον* F. — *νότ. ὑετῷ μετὰ νότου γεγενημένῳ* F.

1300. *γᾶν εἰ* Fl. Ven. *γαν* (*η* sup.) F. *γάνει* Pors.

(1300) *σπ. καιρὸς σπόρου ἐστίν* F. — *κάλ. ἁπλῶς παντὸς σπέρματος* F. — *λοχ. τοῖς γεννήμασιν· τῇ ἐκφύσει τῶν καρπῶν* F.

(1301) *ὧδ'. οὕτως* F. — *ἐχ. τούτων* F. — *πρ. ἤγ. πρεσβῦται* F.

1302. *ἐγὼ δ'* Fl.

(1302) *ἐπεύχομαι χαίρειν ὑμᾶς, ἢ καυχῶμαι δηλονότι χαίρειν* F. (*Σχ. π.*)

(1304) *δικ. ἤγ. δίκαιον ἦν, μᾶλλον δὲ ὑπὲρ δίκαιον* F.

τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.
Χο. Θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
Κλ. Πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος·
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω — σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις,
ὅμοιον —· οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δέ, τῆσδε δεξιᾶς χερὸς
ἔργον, δικαίας τέκτονος· τάδ' ὧδ' ἔχει.
Χο. Τί κακόν, ὦ γύναι, χθονοτρεφὲς
ἐδανὸν ἢ ποτὸν πασαμένα ῥυσᾶς
ἐξ ἁλὸς ὀρώμενον τόδ' ἐπέθου θύος, δημοθρόους τ' ἀρὰς
ἀπέδικες ἀπέταμες;

(1305) τοσ. ἤγ. ἐν φόνῳ πλήσας κρατῆρα ὁ Ἀγαμέμνων, αὐτὸς πρῶτος ἐλθὼν πίνει F. (Σχ. π.)

(1307) θρ. εἶ δηλονότι F.

(1308) κομπ. μεγαλαυχεῖς F.

(1309) ἀφρ. ἀνοήτου F.

(1310) ἀτρ. ἀφόβῳ F.

1313. χερὸς ἔργον Fl.

1315. — Στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε'· ὧν τὸ α' δίμετρον ὑπερκατάληκτον, τὸ β' τρίμετρον βραχυκατάληκτον, τὸ γ' τρίμετρον καταληκτικόν, τὸ δ' ὅμοιον, τὸ ε' ὅμοιον V. — Στρ. κώλ. ε' F. Ἡ στροφὴ αὕτη κώλων ἐστὶν ἀντισπαστικῶν ε', ἐν οἷς εἰσὶ καὶ πεντασύλλαβοι πόδες, εἰ βούλει· ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως. F. (Ἡμ.)

(1315) χθ. ἐκ τῆς γῆς τραφέν F. — ἐδ. βρωτόν Fl. βρώσιμον. ἀπὸ τοῦ ἔδω F.

1316. ἑδανὸν Ven. V. C. ἐδανὸν Fl. F. — ῥυσᾶς (η sup.) F. ῥυτᾶς St.

(1316) πασ. ἤγ. πιοῦσα F. — ῥυσ. γηραιᾶς Fl. F.

[1316] Hes. ἐδανά· ἐδώδιμα, βρώσιμα. ἐδανοῖς· βρωσίμοις. Αἰσχύλος.

1317. ὅρμενον Abr.

(1317) ὀρώμ. κινηθέν, γεγονός F. — ἐπεύθου. ἔμαθες F. — θύος. θῦμα F. — (1315 sqq.): τί κακόν, ὦ γύναι, ἐδεστόν, ἤγ. βρώσιμον, ἢ πόσιμον κτησαμένη ἐκ θαλάσσης ὁρμώμενον, ἔμαθες τοιαῦτα ποιεῖν θύματα F. (Σχ. π.)

(1318) ἀπ. ἀπέρριψας, οὐδὲν ἡγήσω τὰς τοῦ δήμου ἀράς F.

ἄπολις δ' ἔσῃ μῖσος ὄμβριμον ἀστοῖς.
Κλ. Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς,
οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν, ὡςπερεὶ βοτοῦ, μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν
ἔθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν', ἐπῳδὸν Θρῃκίων τε λημμάτων.
Οὐ τοῦτον ἐκ γῆς τῆςδε χρὴ σ'ἀνδρηλατεῖν
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ· λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

1319. *ἀπόπολις* H.

(1319) *ὄμβρ. ἦγ. μέγα* F.

1320. — *Ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ'* V. — *Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιδ'· ἐπὶ τῷ τέλει παράγραφος* F. (*Ἡμ.*)

(1320) *δικ. κρίνεις* F.

(1321) *ἀστ. τῶν πολιτῶν* F.

1322. *οὐδὲν* (corr. ex *οὐ σν*) Fl.

(1322) *τόδ'. κατὰ τοῦτο* F. — *ἀνδρ. τῷ Ἀγαμέμνονι* F. — *οὐδ. τόδ'. κατ' οὐδὲν μεμφόμενος τῷ Ἀγαμέμνονι, ὅτι τὴν ἐμὴν θυγατέρα Ἰφιγένειαν ἔκτεινεν ὡς πλούσιος ποιμήν, πολλὰ ἔχων θρέμματα, θύσειεν ἐξ αὐτῶν ἕν.* F. (*Σχ. π.*)

1323. *ὥσπερὰ* Fl.

(1324) *φλ. πληθυνόντων* Fl. V. *αὐξομένων* F.

1325. *αὑτοῦ* Fl. F. Ven. *αὐτοῦ* V. C.

1326. *ἐπωδὴν* Ven. — *τε λημμάτων* Fl. F. Ven. *δημάτων* C.

(1326) *ἐπ. μειλικτικήν, καταπαυστικήν* F.

1327. *χρῆν* Pors.

(1330) *ἀναγκαίως ἀπειλεῖ, ἵνα ἐκεῖνοι τὸ ἀμφίβολον τῆς μάχης φυλάξωνται* F. (*Σχ. π.*) V.

1332. *δὲ* in Fl. post insertum.

Χο. Μεγαλόμητις εἶ περίφρονα δ'
ἔλακες, ὥςπερ οὖν φονολιβεῖ τύχᾳ
φρὴν ἐπιμαίνεται· λῖπος ἐπ' ὀμμάτων αἵματος εὖ πρέπει·
ἀτίετον ἔτι σέ χρὴ
στερομέναν φίλων τύμμα τύμμα τίσαι.
Κλ. Καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην
Ἄτην, Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι Φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμὰς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
Οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους·

1334. — Ἀντ. ἔχουσα κῶλα ε', ὅμοια τοῖς τῆς στροφῆς ἀντισπαστικοῖς V. — Ἀντ. κῶλ. ε' F. Ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς· καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ε'· ἐπὶ τῷ τέλει παράγραφος F. (Ἡμ.)

(1334) μεγ. μεγαλόβουλος F. — περ. ὑπέρφρονα F.

1335. τύχᾳ (η sup.) F.

(1335) ἔλ. εἶπες F.

1336. λίπος Fl. — | αἵματος εὐπρέπειαν τίετον. ἔτι σε χρὴ | Fl. εὐπρέπει F. εὐπρέπειαν — τίετον Ven. ἐμπρέπει C.

(1336) λῖπ. ἤγ. τὸ αἷμα F. — ἐπ' ὀμμ. ἐπὶ τοῦ προσώπου F.

1337. ἀτίετον F. — σέ V. C.

(1337) ἀτ. ἀτιμώρητον ἔτι F.

1338. τ. τύμματι Is. Voss. — τῖσαι Pors.

(1338) τίσ. ἀποδοῦναι F. — (1335 sqq.): μαίνεταί σου ἡ φρὴν ὥςτε ἀπολέσθαι ἐφ' ᾧ δέδρακας. ἐπίκειται δέ σου τῷ προςώπῳ καθαρὸν τὸ αἷμα, ὥςτε τὸν φονεύοντά σε μὴ ἐγκαλεῖσθαι F. (Σχ. π.)

1339. — Ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ' V. — Σύστημα ἕτερον κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ'· ἐπὶ τῷ τέλει παράγραφος F. (Ἡμ.)

(1339) τήνδ'. ἣν ὄμνυμί σοι F. — ἀκ. ἀντὶ τοῦ ἄκουσον F.

(1340) τέλ. ἤγ. τὴν τελεσθεῖσαν νῦν δικαίως F.

1342. ἐμπατεῖν V. C.

(1342) οὔ. ἤγ. οὐ φοβοῦμαι F.

1343. ἐμῆς Pors.

(1343) αἴθῃ. ἤγ. θυσίας ποιῇ F.

1345. θράσους | κεῖται, Fl. Ven. V. θράσους. C.

(1345) ἀσπ. βοήθεια F.

κεῖται γυναικὸς τῆςδε λυμαντήριος
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ·
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος
καὶ κοινόλεκτρος τοῦδε θεσφατηλόγος
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἱστοτριβής· ἄτιμα δ' οὐκ ἐπραξάτην·
ὁ μὲν γὰρ οὕτως, ἡ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.
Χο. Φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,

(1346) *τῆςδε.* *τῆς Κασάνδρας* F. — *λυμ.* *τιμωρός* F.

(1347) *Χρ.* *οὗτος γὰρ μέλλει καταβαλεῖν ἀπ' αὐτῆς ἃ περὶ τὸ σῶμα αὐτῆς περίκειται χρυσία* F.

(1348) *ἥ τ'.* *ἀπὸ κοινοῦ τὸ κεῖται* F.

1351. *ἱσοτρίβης* De P.

(1351) *ἱστ.* *ἡ περὶ τὸν ἱστὸν τῆς νεὼς συνοῦσα αὐτῷ* F. — *ἐπρ.* *αὐτή τε καὶ Ἀγαμέμνων* F.

(1352) *οὕτως.* *ἀπέθανεν, ὡς ἤκουσας* F. Adscr. *σῆ.*

[1353] Tzetz. *ad Lycophr.* vs. 426: *κοίτου κύκνον*] *τὸν Κάλχαντα, διὰ τὸ γηραιὸν καὶ μαντικόν· καὶ γὰρ οἱ κύκνοι προγινώσκουσι τὴν ἑαυτῶν τελευτήν, καὶ λιγυρώτατον τότε ᾄδουσι μέλος, ὥς που μέμνηται καὶ Αἰσχύλος λέγων· κύκνου δίκην, τὸν ὕστατον μέλψασα θανάσιμον γόον. Τὸ γὰρ ὄρνεον τοῦτο ἱερὸν τοῦ θεοῦ ἐστιν.*

(1354) *φιλ.* *ἡ* (om. V.) *ἐκ ψυχῆς φιλουμένη* (*τῷ Ἀγαμέμνονι* add. V.) F. V.

1355. *παροψώνημα* Cas.

(1355) *παρ.* *τὴν ἐκ περιουσίας τρυφήν* Fl. V. *ἥγ.* *τρυφήν* F.

1356. — *Εἴσθεσις διπλῆς μονοστρόφους ἔχουσα τὰς περιόδους· οὐ γὰρ ἔχει ἀντιστροφήν. Καὶ εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα χοριαμβικά, τοῦ δὲ ἑτέρου προςώπου ἀναπαιστικά. Εἰσὶ δὲ τῆς παρούσης στροφῆς κῶλα χοριαμβικὰ ιδ', δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα· μετὰ δὲ τὸ ζ' κῶλον κώλου τμῆμα τὸ Ἰώ* V. — *Στρ. κώλ. ιδ'* F. *Αἱ συστηματικαὶ αὗται πᾶσαι περίοδοι καλοῦνται ἀλλοιόστροφοι· εἰσὶ δὲ τὰ μὲν τῶν στροφῶν κῶλα χοριαμβικά, τὰ δὲ τῶν συστημάτων τῶν μεταξὺ ἀναπαιστικά· ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλαῖ δύο ἔξω νενευκυῖαι συνήθως* F. (*Ἡμ.*)

(1356) *τίς.* *μοῖρα* F. — *τάχ.* *μόλοι* F. — *περ.* *περισσὰς ὀδύνας φέρουσα* F.

μηδὲ δεμνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου
καὶ πολλὰ τλάντος γυναικὸς διαί;
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

Ἰὼ παρανόμους Ἑλένα
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ·
νῦν δὲ τελείαν πολύμναστον
ἐπηνθίσω δι' αἷμ' ἄνιπτον·
ἥτις ἦν τότ' ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.
Κλ. *Μηδὲν θανάτου μοῖραν ἐπεύχου*
τοῖςδε βαρυνθείς,

1357. *μήδὲ* Fl. Ven. *μὴ δὲ* F.
(1357) *δεμν.* *ἐν τοῖς δεμνίοις φυλάττουσα* F.
1358. *ἐφ' ἡμῖν* H.
1359. *ὕπνον* Fl. (corr. ex *ὕμνον*).
(1359) *ἀτ.* *οὐ τὸν συνήθη ὕπνον αἰτεῖ, ἀλλὰ τὸν θάνατον* F.
1361. *διὰ* F.
(1361) *γυν.* *διὰ* F.
1363. *ἰὼ ἰὼ παράνους* H. — *ἐλένα* (*η* sup.) F.
1365. *ὀλέσας* Fl. Ven.
(1365) *ὑπὸ Τρ.* *ἐν τῷ ἀκολουθῆσαι τῷ Πάριδι* F.
1366. *πολυμναστον* (*η* sup.) F. (in fine vs. adscr. sed deletum *ἐπηνθίσω*.)
(1366) *τελ.* *οἰζύν, ταλαιπωρίαν* F.
(1367) *ἐπ.* *ἐκαρπώσω* F. — *αἷμ'.* *τὸ τῶν Τρώων ἀκάθαρτον διὰ τὴν αὐτῶν παρανομίαν* F.
(1368) *ἅτις* Fr. *ἥτ.* *διὰ τὸ ἀεὶ ἄνθρωπον ἀναιρεῖσθαι ἐν τοῖς οἴκοις* F.
1369. *οἰζύς:* Fl. *οϊζύς* F. V. C.
(1369) *ἐρίδμ.* *ἔριδος* F. — *οϊζ.* *φθορά* F.
1370. — *Ἀναπαιστικὰ κῶλα ς', ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ς' ἑφθημιμερές* V. — *Σύστημα κατὰ περικοπὴν κώλων ς'· ἀναπαιστικὰ κῶλα ς'· εἶτα παράγραφος.* F. (*Σχ. π.*)
(1371) *τοῖςδε.* *μονόμετρον* Fl.

μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'
ἀξύστατον ἄλγος ἔπραξεν.

Χο. *Δαῖμον, ὃς ἐμπίπτεις δώμασι καὶ διφυ-*
-εῖσι Τανταλίδαισιν,
κράτος ἰσόψυχον ἐκ γυναικῶν
καρδίᾳ δηκτὸν ἐμοὶ κρατύνεις·
ἐπὶ δὲ σώματος δίκαν μοι
κόρακος ἐχθροῦ σταθεὶς ἐκνόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται.

Κλ. *Νῦν δ' ὤρθωσας στόματος γνώμην,*

1372. μὴδ' Fl. Ven.

1374. ὀλέσα | σ' ἀξύστατον F. ὀλέσασ', C.

(1375) ἄλγ. τὸ κατὰ τὸν Ἀγαμέμνονα F.

1376. ἐμπίτνεις C. — διφυί | οισι H.

1376. — Στρ. ἑτέρα κώλ. χοριαμβικῶν ζ'· εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα, καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα V. — Στρ. ἑτέρα κώλ. ζ'. Χορ. κῶλα ζ'· εἶτα παράγραφος F. (Σχ. π.)

(1376) διφυεῖσι. ἢ (om. V.) Ἀτρεῖ καὶ Θυέστῃ, ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ F. V.

1377. Ταντταλίδεσιν Fl. Ven.

1378. κράτος τ' ἰσ. H.

(1378) γυν. Κλυταιμνήστραν καὶ Ἑλένην (V. genitivos ponit) λέγει, αἳ κατὰ φαυλότητα ἴσας τὰς ψυχὰς ἔχουσιν F. V.

1379. καρδιόδηκτον Abr.

(1379) καρδ. ἤγ. δάκνον τὴν καρδίαν μου F. — κρ. ἐπιφέρεις F.

1380. δίκαν (η sup.) F. — μοι del. H.

1381. ἐκνόμως Fl.

(1381) κόρ. ὡς κόραξ ἐσθίων νεκρὸν (νεκρῶν V.) σῶμα βοᾷ, οὕτω καὶ ὁ δαίμων ἐκνόμως δικάσει, παρὰ τὸ δίκαιον. F. V.

1382. ἐπεύχεται φόνῳ Schütz. ἐπ. δόμοις Batl. ἐπ. μύσος H.

(1382) ἐπ. καυχᾶται F.

1383. — Ἀναπαιστικὰ ὅμοια τοῖς προῤῥηθεῖσιν ἓξ V. — Σύστημα ἕτερον κώλων ς'. Ἀναπ. ὅμ. τ. πρ. κῶλα ς'· εἶτα παράγραφος F. (Σχ. π.)

(1383) νῦν ἔτυχες τοῦ ὀρθοῦ λόγου F.

τὸν τριπάχυιον
δαίμονα γέννας τῆςδε κικλήσκων·
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρει τρέφεται πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος νέος ἰχώρ.
Χο. Ἦ μέγαν οἴκοις τοῖςδε
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς·
φεῦ φεῦ κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
ἰώ, ἰὴ διαὶ Διὸς
παναιτίου πανεργέτα.

1384. τριπάχυντον H.

(1385) γένν. γενεᾶς F. — κικλ. καλῶν F. διὰ τὸ εἰς τὸν δαίμονα ἀποτείνεσθαι τὸν παλαιόν· ἐκεῖνος γὰρ αἴτιος καὶ τοῦ φόνου τούτου F. (Σχ. π.)

(1386) αἱμ. αἵματα λείχων, φόνων ἐπιθυμῶν F.

1387. νείρῃ Cas. νείρᾳ Well. — τρέφεται πρὶν Fl. V. τρέφεται, πρὶν C. — καταλῆξαι, V. καταλῆξαι C.

1388. ἄχος νέος Fl. V. ἄχος, νέος C.

(1388) ἰχ. ἧγ. φόνος F.

1389. Leg. ἦ μέγαν εὖ μελάθροις —.

1389. — Ἑτέρα στρ. κώλ. χορ. ιε'· εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα, καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δὲ ἡμιόλια· μετὰ δὲ τὸν η' καὶ ιβ' κώλων τμήματα. V. — Στρ. ἑτέρα κώλ. η'. Χορ. κῶλα ὅμοια τοῖς ῥηθεῖσιν η'· ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ. ἔχει γὰρ καὶ ἀντιστροφήν F. (Σχ. π.)

(1390) βαρ. βαρύοργον F. — αἰν. ἀποδέχῃ καὶ συμπράττεις αὐτῷ F.

(1391) ἀτη- ἀντὶ μιᾶς F.

1392. τύχας (η sup.) F.

(1392) ἀκ. αἰνεῖς F.

(1393) διαί. διά F.

1394. πανεργέτα (ου sup. α) F.

(1394) πανεργ. τοῦ πᾶν ἐργαζομένου F.

[1394] Christ. Pat. 1465: ὦ παῖ παναιτίου Θεοῦ παντεργάτα,
τί γὰρ τελεῖται τοῖς βροτοῖς ἄνευ σέθεν;
τί δ' οὐ θεόκραντόν γε τῶνδ' ἐστίν; ἰώ,
ἰώ, ἰώ,
ὦ βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
ὦ Θεέ μου, Θεέ μου, πῶς σε καλέσω;

Τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;

Ἰώ, ἰὼ βασιλεῦ, βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
Κλ. *Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν·*
μηδ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον·

φρενὸς ἐκ φιλίας τί σοί ποτ' ἄρ' ᾄσω;
κεῖσαι γὰρ ὑφάσμασι τοῖσδ' εἰλιγμένος.

(1396) *θεόκρ.* ἐκ θεοῦ τελεσθὲν F.

1397. — *Σύστημα ἕτερον κώλ. θ'. Ἀναπ. κῶλα θ'· εἶτα παράγραφος καὶ διπλαῖ· ἔχει γὰρ καὶ ἕτερον ὅμοιον σύστημα* F. (*Σχ. π.*)

(1397) *βασ.* ὦ Ἀγαμεμνον F. Adscr. *ἡμιχ.*

(1399) *φιλ.* φιλικῆς F.

(1400) *ἀρ.* ἤγ. ἀσθενεῖ ἢ λεπτῷ καὶ ἀραχνώδει. καταγελάστως F.

1402. *ὤμοι μοι* Fl. *ὤμοι μοι* Ven. F. *ᾤμοι μοι* V. C. — *κοίταν* (*η* sup.) F. — *τάνδ'* Fl. *τᾶνδ'* Ven.

(1402) *ἀνελεύθερα.* ἀνελευθέρως, δουλικῶς F.

1403. In F. ante *μόρῳ* lacuna est.

(1403) *μόρ.* ἰαμβικὸν F.

(1404) *βελ.* ξίφει F.

1405. *τοὔργον* Fl. V. C. *τοὖργον* F. Ven.

1405. — *Ἀναπ. κῶλα η', ὧν τὸ β' καὶ ζ' μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η' ἐφθημιμερές* V. — *Σύστημα ἕτερον κώλ. η'. Ἀναπ. κῶλα ὅμοια η'· εἶτα παράγραφος* F. (*Σχ. π.*)

1406. *μήδ'* Fl. F. Ven. — *ἐπϊλεχθῆς* Ven. *μηδ' ἐπιλεχθῇς** V. C. Leg. *μηδ' ἐπιδεχθῇς.*

(1406—1410) *μὴ νόμιζε ἐμὲ εἶναι, φησίν, ἄλοχον τοῦ Ἀγαμέμνονος, ἀλλὰ φανὲν εἴδωλον τοῦ τιμωρητικοῦ δαίμονος, ὁμοιωθὲν ἐμοί, ἀπήτησε τὸν Ἀγαμέμνονα τὸν φόνον τοῦ Ἀτρέως τοῦ θοινήσαντος τὸν Θυέστην καὶ οἱονεὶ εὐωχίαν ποιήσαντος τὰ ἐκείνου τέκνα* F. (*Σχ. π.*)

φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτισεν
τέλεον νεαροῖς ἐπιθύσας.

Χο. Ὡς μὲν ἀναίτιος εἶ
τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;
πῶ πῶ; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
Βιάζεται δ' ὁμοσπόροις
ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης· ὅποι δὲ καὶ προςβαίνων
πάχνα κουροβόρῳ παρέξει.

Ἰὼ ἰὼ βασιλεῦ, βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
Ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον,
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

1413. — Στρ. ἑτέρα κώλ. ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν η' V. — Ἀντ. κώλ. η'. Ἡ ἀντ. αὕτη κώλ. ἐστὶν η' ὁμοίων (om. τοῖς) τῆς ἄνω ῥηθείσης στροφῆς, ἧς ἡ ἀρχὴ ἦ μέγαν οἴκοις· εἶτα παράγραφος F. (Σχ. π.)

1419. προβαίνων C.

1420. πάχνᾳ H.

1421. — Ἀνατ. κῶλα ζ', ὧν τὸ β' μὲν καὶ ζ' ἐφθημιμερές, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα· ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον V. — Σύστ. ἕτερον κώλ. θ'. Ἀναπ. ὅμοια τῷ ἄνω συστήματι κῶλα θ'· εἶτα παράγραφος F. (Σχ. π.)

(1421) βασ. ὦ F. Adscr. ἡμιχ. in F. & Ven.

1426. τᾶνδ' Ven;

(1427) μόρ. ἰαμβικόν F. (lacuna ante μόρ. ut 1403).

Κλ. Οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι·
οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ',
ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθέν,
τὴν πολύκλαυτόν τ' Ἰφιγένειαν
ἀνάξια δράσας ἄξια πάσχων,
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτῳ
θανάτῳ τίσας ἅπερ ἦρξεν.
Χο. Ἀμηχανῶ φροντίδων στερηθεὶς
εὐπάλαμνον μέριμναν
ὅπᾳ τράπωμαι, πίτνοντος οἴκου·
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψεκὰς δὲ λήγει.
Δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης
πρὸς ἄλλαις θηγάναις μοῖρα.

Ἰὼ γᾶ, γᾶ, εἴθε μ' ἐδέξω

1429. — *Ἀναπ. κῶλα θ', ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ' ἐφθημιμερές* V. — *Σύστ. ἕτερον κώλ. θ'. Ἀναπ. κῶλα θ'· εἶτα παράγραφος* F. (*Σχ. π.*)

1435. *ἄξια* H.

1439. In Fl. Ven. F. nulla ante ὅπα interpunctio.

1439. — *Στρ. ἑτέρα κώλ. ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ'* V. — *Στρ. ἑτέρα κώλ. ζ'. Χορ. κῶλα δμ. τ. ῥηθ. ζ'· εἶτα παράγραφος καὶ διπλαῖ· ἔχει γὰρ καὶ ἀντιστροφήν.* F. (*Σχ. π.*)

1440. *εὐπάλαμον* Pors.

1441. ὅπα (η sup.) F.

1444. *δίκᾳ* (η sup.) F. *δίκα* (η sup.) Ven. Leg. *Δίκῃ δ' ἐπ' ἄλλο πρ. ᾶορ θήγει βλάβης*—.

1445. *θηγάναισι* De P.

1446. *γᾶ γᾶ* (dupl. η sup.) F. — *εἴθ' ἔμ'* Fl. Ven.

1446. — *Ἀναπ. κῶλα ι', ὧν τὸ α', τὸ γ' καὶ τὸ ς' καὶ τὸ θ' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι' ἐφθημιμερές* V. — *Σύστ. κώλ. ι'. Ἀναπ. κῶλα ι'· εἶτα παράγραφος* F. (*Σχ. π.*)

πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
Τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ' ἔρξαι
τλήσῃ, κτείνασ' ἄνδρα τὸν αὑτῆς
ἀποκωκῦσαι ψυχὴν, ἄχαριν
χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;

Τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ
σὺν δακρύοιν ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;
Κλ. *Οὐ σὲ προςήκει τὸ μέλημα λέγειν*
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν

1448. *δρύτας·* cf. [1448] — *χαμεῦναν* (*η* sup.) F.

[1448] Ετym. M. p. 288, 5: *δροίτη· ἡ πύελος· ὁ δὲ Αἰτωλός φησι τὴν σκάφην, ἐν ᾗ τιθηνεῖται τὰ βρέφη· Παρθένιος δὲ τὴν σορὸν, καὶ Αἰσχύλος.* — Eust. *ad Od.* XII, 357 p. 1726, 11: *δρύτη, φασὶ, πύελος κυρίως ἡ ξυλίνη, ὡς ἀπὸ δρυός· ἧς ἡ χρῆσις καὶ παρ' Αἰσχύλῳ ἐν 'Αγαμέμνονι. Εἰ δὲ διὰ διφθόγγου γράφεται ἡ δροίτη ἐκεῖ διὰ τὸν οἶτον, οὐ κωλύει τοῦτο τὴν ῥηθεῖσαν ἑρμηνείαν αὐτῆς· συγκέκοπται γὰρ ἐκ τοῦ δρυοίτη, ἵνα ᾖ κυρίως δροίτη πύελος ἢ λάρναξ ἐπὶ τεθνεῶσιν.*

1450. *ἢ* Fl. Ven. V. C. *ἦ* F.

1451. *τλήσῃ* F. V. C. *τλήσῃ* Fl. Ven. — *αὐτῆς* F. Ven. V. *αὐτῆς,* Fl. C.

(1451) *τλ. ἔτλης* F.

1452. *ψυχῇ τ' ἄχαριν* H.

1454. *ἐπικρᾶναι* Fl. F. Ven. *ἐπικράναι* V. C.

1455. — *Χορ. κῶλα. ὅμοια τοῖς ῥηθεῖσι δ'* V. — *Στρ. ἑτέρα κώλ. δ'. Χορ. κῶλα δ'· εἶτα παράγραφος* F. (*Σχ. π.*)

(1455) *αἶν. ὕμνος* F.

1456. *δακρύοις* F. *δακρῦοις* Ven. *δάκρυσιν* Pors.

(1456) *ἰάπτ. πεμπόμενος* F.

1458. *οὔτε* F. *οὔ σοι* V. p. 351 in Sch. l.

1458. — *'Αναπ. κῶλα θ', ὧν τὸ γ', τὸ ϛ' καὶ τὸ η' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα καταληκτικά, τὸ δὲ θ' ἑφθημιμερές* V. — *Σύστ. ἕτερον κώλ. θ'. 'Αναπ. κῶλα θ'. εἶτα παράγραφος* F. (*Σχ. π.*)

οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
ἀλλ' Ἰφιγένειαν ἵν' ἀσπασίως
θυγάτηρ, ὡς χρή,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων,
περὶ χεῖρα βαλοῦσα φιλήσῃ.
Χο. Ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους·
δύςμαχα δ' ἔστι κρῖναι·
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων·
μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διός,
παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ.
Τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος προςάψαι.
Κλ. Ἐς τόνδ' ἐνέβη ξὺν ἀληθείᾳ
χρησμόν· ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν

1462. Ἰφιγένειαν ἵν' F. Ven. Ἰφιγένειά νιν Jacob.

1465. ἀχειῶν (mut. ex ἀχαιῶν) Ven.

1466. φιλήσῃ Fl. F. φιλήσῃ V. C. Ven. φιλήσει Abr.

1467. — Ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ'. Ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς, ἧς ἡ ἀρχὴ ἀμηχανῶ· ὅμοια γὰρ ἔχει τὰ κῶλα. V. — Ἀντ. κώλ. ζ'. Χορ. κῶλα ὅμοια τῆς ἀντ. (l. στρ.) ζ', ἧς ἡ ἀρχὴ ἀμηχανῶ· ἐπὶ τῷ τέλει παράγραφος F. (Σχ. π.)

1469. ὁ καίνων (corr. ex ὁ καίων) Ven.

1470. θρόνῳ Schütz.

1471. γάρ Fl. F. Ven.

1472. ἀραῖον H.

1474. ξὺν Fl. F. V. C. σὺν Ven.

1474. — Ἀναπ. κῶλα ι', ὧν τὸ β' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι' ἐφθημιμερές V. — Σύστ. ἕτερον κώλ. ι'. Ἀναπ. κῶλα ι'· εἶτα δύο διπλαῖ ἔξω νενευκυῖαι F. (Σχ. π.)

(1475) μονόμετρον Fl.

1476. Πλεισθενιδᾶν (ω sup.) F.

[1476] Tzetz. *Exeg. Il.* p. 68, 19: ὁ Ἀγαμέμνων, ὁμοίως δὲ καὶ Μενέλαος, καθ' Ἡσίοδον καὶ Αἰσχύλον (cf. vs. 1510) Πλεισθένους υἱοῦ Ἀτρέως παῖδες νομίζονται. — Id. p. 69, 3: κατὰ δὲ Ἡσίοδον καὶ Αἰσχύλον καὶ ἄλλους τινὰς Ἀτρέως καὶ Ἀερόπης Πλεισθένης· Πλεισθέ-

ὅρκους θεμένη τάδε μὲν στέργειν,
δύςτλητά περ ὄνθ'· ὃ δὲ λοιπὸν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισιν·
κτεάνων τε μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι
δ' ἀλληλοφόνους
μανίας μελάθρων ἀφελούσῃ.

Αἰ. Ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου·
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοὶ,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆςδε γῆς, τούτου πατὴρ,
πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς φράσαι,
αὐτοῦ τ' ἀδελφὸν, ἀμφίλεκτος ὢν κράτει

νους δὲ καὶ Κλεόλλας τῆς Δίαντος Ἀγαμέμνων, Μενέλαος καὶ Ἀναξιβία· νέου δὲ τοῦ Πλεισθένους τελευτήσαντος, ὑπὸ τοῦ πάππου αὐτῶν ἀνατραφέντες Ἀτρέως Ἀτρεῖδαι πολλοῖς (τοῖς πολλοῖς H.) ἐνομίζοντο.

1477. θεμένα (η sup.) F.

(1478) δύςτλ. δυςυπομόνητα F.

1482. ἀπόχρη τάςδ' ἀλλ. H.

1485. εὔφρον Ven.

1485. — Εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ', ὧν τελευταῖος ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς. V. — Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλλήκτων (sic) οβ', ὧν τελ. ἀμφ. — φονεύς. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις καὶ ἐπὶ τῷ τέλει ὁμοίως παράγραφος F. (Ἡμ.)

(1485) εὔφρ. εὐφραντικόν F.

(1486) τιμ. βοηθούς F.

(1489) φίλ. προςφιλῶς F.

(1490) πατρ. ἤγ. τῆς τοῦ Ἀτρέως F. — ἐκτ. ἀποδιδόντα F.

(1491) In F. adscr. διήγησις.

(1493) ἀμφ. ἤγ. φιλονεικῶν περὶ τῆς βασιλείας F.

ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων·
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν εὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτοῦ· ξένια δὲ τοῦδε δύσθεος πατὴρ
'Ατρεύς προθύμως μᾶλλον ἢ φίλως πατρὶ
τὠμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
Τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος·
ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει·
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
ᾤμωξεν ἄν, πίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ.
Οὕτως ὀλέσθη πᾶν τὸ Πλεισθένους γένος.

(1494) *ἠνδρ. ἐξώρισεν* F.

(1495) *πρ. ἦγ. ἱκετεύσας αὐτὸν* F. — *ἑστ. ἐπὶ τὴν οἰκίαν* F. — *μολ. ἐλθὼν* F.

1498. *ἀστοξένια* H.

(1498) *ξενίᾳ. φιλοξενίᾳ* F.

1501. *χρεῶν* Fl.

(1501) *δαῖτα. εὐωχίαν* F.

(1502) *κτ. τὰς διαστάσεις τῶν δακτύλων* F. V.

(1503) *ἀνδρ. ἀντὶ τοῦ καθ' ἑαυτόν* F.

1504. *ἄσημ'· ὃ δ' αὐτῶν* H.

1507. *ὤμωξεν* Fl. Ven. *ᾤμωξεν* F. *ᾤμωζεν. ἀμπίπτει δ'* C. — *ἄπο σφαγῆς* Fl. Ven. *ἀποσφαγης* F. — *ἐμῶν* Aur.

(1508) *ἄφ. ἀφόρητον* F. — *ἐπ. ἐπηράσατο* F.

1509. *τιθεὶς* Fl. F. — *ἐρᾶ* Ven. *ἀράν* Abr.

(1509) *λάκτ. ἀνατροπήν* F. — *ξυνδ. δικαίως* F.

1510. *ἀρᾶτ' ὄλεσθαι·* cf. [1510]. *ἀρὰν, οὕτως ὀλέσθαι* Pors.

(1510) *ὀλέσθη. ἀπώλετο* F.

[1510] Cram. *Anecd. Gr.* III p. 382. In Scholiis ad Tzetzis Alleg. Iliad. e regione versûs: *καὶ μᾶλλον ἕνεκα αὐτοῦ καὶ δωρεὰ δόθη μοι· Ὅμηρος*

Ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα·
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς·
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις·
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν·
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυςβουλίας.
Οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.
Χο. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω·
σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν,
μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον.
Οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.
Αἰ. Σὺ ταῦτα φωνεῖς νερτέρᾳ προςήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσῃ γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ σωφρονεῖν εἰρημένον.
Δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις· οὐχ ὁρᾷς ὁρῶν τάδε;

καὶ οἱ πλείους Ἀτρέως φασὶ τούτους (Atridas), Ἡσίοδος δὲ Πλεισθένους· καὶ Αἰσχύλος λέγων· Ἀρᾶτ' ὄλεσθαι πᾶν τὸ Πλεισθένους γένος.

(1514) τυτθ. μικρόν F.

1517. συνάψας Fl. σὐνάψας Ven. ξυνάψας F.

1521. τόνδε φῇς De P.

(1522) ἔπ. ἐλεεινόν Fl. ἄξιον οἴκτου F.

1525. νετέρᾳ Fl. νερτέρᾳ Ven.

(1525) νερτ. ἀντὶ τοῦ (om. V.) ὑποδεεστέρᾳ καθέδρᾳ ὤν· οἱ γὰρ ζύγιοι (ζυγοὶ V.) τῶν θαλαμίων ἄνωθέν εἰσιν F. (Σχ. π.) V.

(1527) διδ. βαρὺ γὰρ νουθεσία γέροντι F.

(1528) τῷ τηλ. ἤγ. τῷ πρεσβύτῃ F. — εἰρ. προςταγὲν αὐτῷ F.

(1529) δεσμ. ἤγ. ἡ κάθειρξις F. — καὶ. οὐ μόνον νεότητα ἀλλὰ F. — αἵ τε. ἤγ. τὸ λιμοκτονηθῆναι F.

(1530) ἐξ. ἄρισται F.

πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.
Χο. Γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα,
ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;
Αἰ. Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις·
ὃ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας ἠπίοις ὑλάγμασιν
ἄξῃ· κρατηθεὶς δ' ἡμερώτερος φανῇ.
Χο. Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως.
Αἰ. Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ' ὕποπτος· ἐχθρὸς ἦ παλαιγενής·
ἐκ τῶνδε τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον

1532. *παίσας* in Sch. Pind.

(1532) *πήσ. παθών* F. *ἀντὶ τοῦ παθών* V. — *μογ. θλιβήσῃ* F. Adscr. *παροιμία.*

[1532] Schol. *Pind. Pyth.* II 173: *Αἰσχύλος Ἀγαμέμνονι· πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.* — Zenob. *Paroem.* V 70: *πρὸς κέντρα λακτίζειν· παροιμία, ἧς μέμνηται Εὐριπίδης· πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ* (Bacch. 795)· *καὶ Αἰσχύλος δὲ ταύτης μέμνηται.*

1533. Leg. *σὺ γνοῦσ'*.

(1537) In F. & Ven. adscr. *σῇ*.

1538. *ἦγε* (corr. ex *ᾖσε*) Fl.

(1539) *ἐξ. διεγείρας* F. — *ἠπ. ἡμέροις* F. — *ὑλ. ὑλακαῖς βοαῖς* F.

(1540) *ἄξ. κινήσεις* F. — *κρ. νικηθείς* F.

1542. *τῷδ' ἐβούλευσας* F.

(1543) *οὐκ ἔτλ. οὐχ ὑπέμεινάς φησιν* (*ὑπέμεινας, φησί,* V.) *ἢ οὐκ ἐτόλμησας* (haec om. V.) *δρᾶσαι σὺ αὐτὸς τὸ ἔργον μόνος, ἀλλὰ σὺν τῇ γυναικί.* F. (*Σχ. π.*) V.

(1544) *τὸ γάρ. ναί* F. — *δολ. μετὰ δόλου ποιῆσαι* F.

(1547) *πειθ. τὸν πειθαρχοῦντα* F.

1548. *οὔτι μὴν* Wieseler. K. — *σειραφόρον* Fl. F. Ven.

κριθῶντα πῶλον· ἀλλ' ὁ δυςφιλὴς κότῳ
λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.
Χο. *Τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς*
οὐκ αὐτὸς ἠνάριζες; ἀλλὰ σὺν γυνή,
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων,
ἔκτειν'. Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;
Αἰ. *Ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα.*
Χο. *Εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε·*
εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
Αἰ. *Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.*
Χο. *Δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' ἐρούμεθα.*

[1548] Poll. VII, 24: *τὸ μέντοι ὑπερεμπεπλῆσθαι καὶ ὑπερκεκορέσθαι ὑπερμαζᾶν ἀπὸ τῆς μάζης ἔλεγον οἱ παλαιοί, οἱ δὲ νέοι κριθιᾶν ἀπὸ τῶν ὑποζυγίων. Αἰσχύλος μὲν γὰρ εἴρηκε* σειραφόρον (764) *τε καὶ* κριθιῶντα (*κριθῶντα* Bekk.) *πῶλον.*

1549. *κριθιῶντα·* cf. [1548]. — σκότῳ Aur.

(1549) κριθ. *πίονα ταῖς κριθαῖς* F. *οὐχ ὑποζεύξω τὸν μὴ πειθαρχοῦντα ὡς κριθῶντα πῶλον, ἀλλὰ συγκλείσας καὶ λιμώττειν ἐάσας πραϋνῶ* (*πρᾳΰνῶ* V.) F. (*Σχ. π.*) V. (qui ad πῶλον inserit: *ἤγ. πίονα ταῖς κρ.*)

(1550) ἐπ. *ἴδῃ.* F.

1552. *ἀλλὰ σύν, γυνὴ* Fl.

(1552) ἠν. *ἐφόνευες* F. — σύν. *σοὶ δηλονότι* Fl. F. — γυν. *ἡ* F.

1554. *ἆρα ποῦ* Ven. F.

(1554) βλ. φάος. *ἤγ. ζῇ* F.

(1555) δεῦρο. *ἐνταῦθα* F.

(1556) παγκρ. *ἰσχυρός* F.

1557. — *Εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος· οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε', ὧν οἱ κγ' τετράμετροι καταληκτικοί, οἱ δὲ ἐν τῷ τέλει β' τρίμετροι ὑπερκατάληκτοι* V. — *Ἔκθεσις τοῦ δράματος. οἱ δὲ στίχοι εἰσὶ — ὑπερκατάληκτοι. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει τοῦ δράματος κορωνὶς ἡ τὸ δρᾶμα ἐπισφραγίζουσα καὶ περατοῦσα.* F. (*Ἡμ.*)

1558. *τοὔργον* Fl. F. Ven. *τοῦργον* V. C.

(1558) In Fl. *Αἰ* deleto *Χο* positum. In Ven. *Χο.*

1560. μὴν κἀγὼ Pors.

1561. *δ'* αἱρούμεθα C.

Κλ. Μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσομεν κακά,
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύςτηνον ὁ ἔρως·
πημονῆς δ' ἅλις γ' ὕπαρχε· μηδὲν ἡματώμεθα.
Στείχετε δ' οἱ γέροντες πρὸς δόμους πεπρωμένους τούςδε
πρὶν παθεῖν· ἔρξαντα καιρὸν χρῆν τάδ' ὡς ἐπράξαμεν.
Εἰ δέ τοι μόχθων γένοιτο, τῶνδ' ἅλις γ' ἐχοίμεθ' ἄν,
δαίμονος χολῇ βαρείᾳ δυςτυχῶς πεπληγμένοι.
Ὧδ' ἔχει λόγος γυναικός, εἴτις ἀξιοῖ μαθεῖν.
Αἰ. Ἀλλὰ τούςδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι,
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονας πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτῆτον κρατοῦντα.
Χο. Οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προςσαίνειν κακόν.
Αἰ. Ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.
Χο. Οὐκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
Αἰ. Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
Χο. Πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
Αἰ. Ἴσθι μοι δώσων ἄποινα τῆςδε μωρίας χάριν.
Χο. Κόμπασον θαρρῶν ἀλέκτωρ ὥςπερ θηλείας πέλας.

(1561) *τὴν τύχ. τὸν οἰωνὸν δηλονότι* Fl. F. V. (H. recte retulit ad *δεχομ.*)

1563. *θέρος* Schütz.

1564. *γ' ὑπάρχε* Fl. Ven. *ἅλις δ' ὑπάρχειν· μηδὲν* (, *μηδ' ἴθ'* Schneid.) *αἱματώμεθα* H.

1565. Leg. *Τούςδε στείχεθ' οἱ γέρ. πρ. δ. πεπρ.*

(1565) *πεπρ. ἐπέπρωτο γὰρ τὰ πεπραγμένα* F.

1566. *ἔρξαντες* Fl. — *χρὴν* Fl. Ven. — *ἐπραξάμην* F. (Ven. ?) — Leg. *πρὶν παθεῖν ἔρξαντα καινόν· χρῆν* —.

1567. *εἰ δ' ἔτ' οὐ μ. γένοιτο τῶνδ' ἅλις, δεχοίμεθ' ἂν* H.

1568. *χηλῇ* Fl. Ven. *χηλῇ* F. — *πεπληγμένοι* Ven. Fl. F.

1571. *δαίμονος* Cas. — *πειρωμένη* Ven.

1572. *δ' ἁμάρτητον* F. — *κρατοῦντε* Ven. (?) *δ' ἁμαρτεῖν τὸν κρατοῦντ'· αἶσχος μέγα* H. *τὸν κρατοῦντα δύςφορον* Scal. ap. Haupt. p. 339 not. Malim *τὸν κρατοῦνθ' οἷόν τε πῶς;* Cf. Pr. 41.

1573. *οὐκ ἄν, Ἀργείων* Fl. — *προσσαίνειν* F. Ven. C.

1579. *ὥςτε* C.

Αἰ. Μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων· ἐγὼ
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

FRAGMENTA.

Hes. ἀσκεύοις· ψιλοῖς, ἀπαρασκεύοις. Αἰσχύλος Ἀγαμέμνονι. Cf. H. I, 412. II, 475.

Id. γονίας· εὐχερής. Αἰσχύλος Ἀγαμέμνονι. — Locus est in *Choëph.* 1065. Cf. H. ad Arist. Poët. p. 110.

Bekk. Anecd. Gr. I, 353 ἀθήρης· — Αἰσχύλος Ἀγαμέμνονι· χαλκὸν ἀθέριτον ἀσπίδος ὑπερτενῆ. Cff. Bl. Praef. p. XII. H. fr. 441. Dind. fr. p. 326.

Cram. Anecd. Oxon. I, 122. ἡ δόρει παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι· σὺν δόρει στρατόν. Cf. Soph. fr. 726.

Sch. Arist. Eqq. 586: ὁ δὲ (χορὸς) τραγικὸς ιε', ὡς Αἰσχύλος Ἀγαμέμνονι.

Poll. IV, 110: εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ἐκαλεῖτο· καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Ἀγαμέμνονι (Cod. ἐν Μέμνονι) Αἰσχύλου. Cf. H. II. p. 343. Bl. Praef. p. XI.

1580 in fin. supplevit ἐγὼ C.

(1580) ὑλ. ὑλακῶν, βοῶν ἀσήμων F.

1581 in fin. supplevit καλῶς St.

(1581) καὶ σύ· ἐγὼ γὰρ δηλονότι F. ἐγώ, φησι, καὶ σὺ κρατοῦντες τῶνδε τῶν δωμάτων διαθησόμεθα τὰ (τὸ V.) καθ' αὑτοὺς καλῶς. F. (Σχ. π.) V. — In Fl. add: καὶ νῦν πάρεστιν Ἀγαμέμνονος τέλος. In F. Αἰσχύλου Ἀγαμέμνων. In Ven. τέλος Ἀγαμέμνονος.

COMMENTARIUS.

COMMENTARIUS.

V. 1. πόν. Quamvis πόνοι φρουρᾶς recte dici possit (cf. 1123), tamen φρουρᾶς pro appositione habere malo, qua explicetur πόνων. Abr. p. 246 exponit: θεοὺς μὲν αἰτῶ ἀπ. τῶν πόνων τούτων τῶν ἐξηντλημένων κατὰ τὴν μακρὰν ἐτείαν φρουράν.

2. ἐτ. μῆκ. Dictum ut ποταμὸν εὖρος ὡς πλεθριαῖον (Xen. An. IV, 6, 3; cf. I, 5, 4). — Ἔτειον· quod *unius anni* est; λάγω ἔτειοι (Xen. Cyneg. V, 14, 16). Pariter ἐνιαύσιον Od. XVI, 454. Eur. Hipp. 37. Caes. B. C. III, 3 *annuum* spatium, ut vita *menstrua* Cic. Fin. IV, 12, 30. — Μῆκος· quaevis longitudo (Od. IX, 324. XI, 312. Aesch. Ag. 92. Fr. 427 H. 232 Abr. Emped. fr. vs. 107 ἴση μῆκος); de temporis spatio inf. 561, 174. Pr. 1019. Eur. Or. 1215. — Ἐτ. μῆκ. non sine taedio pronuntiatum; idcirco μῆκος additum.

ἣν κοιμ. *quam annuam custodiam cubans* (excubando transigens). Pariter Rhes. 5: τετράμοιρον νυκτὸς φρουρὰν — προκάθηνται. In castris κατακοιμᾶν τὴν φυλακὴν (Her. IX, 93) et κατακοιμίζειν τὴν φυλ. (Ael. N. Anim. I, 15. III, 13. XIII, 22) erat *excubias dormiendo negligere;* at φρουρὰν κοιμᾶσθαι pro κοιμᾶσθαι (Xen. Cyr. I, 2, 4. 9) *excubias agere* non magis diccbatur quam φρ. καθῆσθαι· adiungi debebat temporis (ἐτείας — τετράμοιρον) significatio, ut recte diceretur. Ergo ἣν (φρ. ἐτ. μῆκ.) κοιμ. est ὃν χρόνον κοιμ. Cf. Sept. 22. — Κοιμηθῆναι, ait Eust. ad Il. VII, 482, est ἀναπεσεῖν καὶ ὡς εἰς ὕπνον κα-

τακλιθῆναι (cf. Od. XX, 40. Soph. Oed. C. 1571. Arist. Vesp. init.). Hes. *κοιμηθέντι· κατακλιθέντι, οὐ πάντως ὑπνώσαντι.* Sch. ad Eur. Hec. 826 *πᾶς κοιμώμενος καὶ κοιμίζεται· οὐ μὴν πᾶς ὁ κοιμιζόμενος καὶ κοιμᾶται·* ubi *κοιμᾶσθαι* est *ὑπνῶσαι.*

ἐτείας: μῆκος δ' ἦν M. Marc. *ἐτείας, μῆκος δ' ἦν* G. *ἐτείας, μῆκος δ' ἦν* B. R. Cff. Scholia. — Varietas orta ex non intellecto *ἐτ. μῆκ. Μῆκος* enim pro adv. *δὴν* acceptum est et *ἦν* in *δ' ἦν, δ' ἦν, δ' ἦν* sensim mutatum. In Ed. a. 1614: *laborum custodiae annuae; diu vero dormiebam.*

3. *στέγ.* Plurali notatur magnitudo et amplitudo aedium contiguarum; hinc *στέγαι Ἀτρειδῶν* (469). Dativus est loci, qualis 510, 784, fr. 166 H. 174 A. (*οὐρανῷ κυρῶν ἄνω*), Il. VI, 152. XIX, 376. Od. III, 263, 402. XI, 188. XXIII, 41. Soph. Oed. R. 20, 1266, 1451. C. 309, 407. El. 174, 313. Ant. 226. Eur. Io. 314. Phoen. 86. Theogn. 943.

ἄγκ. Absurde in F. *ἐν ἀγκάλαις·* item gl. ad Eum. 80 *ἀγκ. λαβών· ταῖς ἀγκάλαις.* Dicitur *ἀγκὰς ἔχειν* et *ἑλεῖν* in Il. ut Aesch. Suppl. 479 *ἐν ἀγκάλαις λαβών·* cf. Ag. 662; sed *ἄγκαθεν* eo minime spectat. Est forma contracta pro *ἀνέκαθεν·* ac ne quis cum H. miretur apocopen, qua vocalis necessaria abiiciatur, distinguendum erit. Plut. Thes. 33 ait, *τὸ ἄνω τοὺς Ἀττικοὺς ἀνέκας ὀνομάζειν, καὶ ἀνέκαθεν τὸ ἄνωθεν.* Cf. Suid. *ἀνέκας.* Id. *ἀνέκαθεν· κατὰ τὴν ἄνωθεν ἀκολουθίαν· ἢ ἀνέκαθεν μακρόθεν.* Etym. Gud. *ἀνέκαθεν· ἐκ τοῦ ἄνω καὶ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ μακρόν· σημ. δὲ τὸ μακρὸν καὶ ἄνωθεν· ἐκ τοῦ παλαιοῦ χρόνου.* Itaque duplex est *ἀνέκαθεν·* alterum, quo Attici *ἐπὶ τόπου* (non *ἐπὶ χρόνου*) utebantur, quod contrahitur *ἄγκαθεν·* alterum compositum, notans *μακρόθεν·* cf. 266, 1014, 1558 *ἑκάς*, Ch. 315 *ἕκαθεν·* 425 *ἀνέκαθεν*, ubi praecedit *ἄνωθεν.* Non est igitur, quod in *ἄγκαθεν*, ex simplice *ἀνέκαθεν* formato, vocalis necessaria dicatur periisse. Valet autem h. l. *ὕπερθε, ἐπάνω, superne;* cf. 793, 1503. Suppl. 594. Plat. Rep. VIII, 534[e] *ὥςπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι.*

κυν. δίκ. 1003. 960. Ch. 445. Excubitor cum cane custode

se comparat tum ob vigilandi et cubandi similitudinem, tum eo quod ut canis catenae, ita ipse tecti finibus continetur.

4. *κάτ.* Pers. 744. Suid. *κάτοισθα· γινώσκεις, ἐπίστασαι.* Ob hanc scientiam Ach. Tat. [4] *τὴν ἐμπειρίαν* hominis celebrat.

ὁμήγ. Hes. *ὁμήγυρις· πλῆθος, ὄχλος, ἀναγωγή, συνέλευσις.* Suid. *ὁμ. ἄθροισμα, πλῆθος.* Sept. 220. Il. XX, 142. (Mus.) Her. et Leand. 9 *ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων.*

5. *τοὺς φέρ.* Abr. „plenior annuae speculationis per aestatem hyememque integram exanclatae descriptio." Ex nocturno stellarum errantium et fixarum concilio excubitor fixarum principes diserte memorat. Noctem illustrant Orion, Sirius (*ἀστὴρ ὀπωρινός·* Il. V, 5). Bootes, Hyades, maxime *Pleiades.* Theophr. fr. VI, 1, 6 *διχοτομεῖ τὸν μὲν ἐνιαυτὸν Πλειάς τε δυομένη καὶ ἀνατέλλουσα· ἀπὸ γὰρ δύσεως μεχρὶ ἀνατολῆς τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ ἐστιν· ὥςτε δίχα τέμνεται ὁ πᾶς χρόνος.* Plin. H. N. XVIII, 69: *Vergiliae privatim attinent ad fructus, ut quarum exortu aestas incipiat, occasu hiems, semestri spatio intra semesses vindemiasque et omnium maturitatem complexae.* Alii *solem* et *lunam* intelligunt, qui soli dici possint *λαμπροὶ δυνάσται,* qui cum Lucifero dicantur *ἄρχοντες καὶ διοικηταὶ καὶ πρυτάνεις* (Plut. Opp. II. p. 601ᵃ). At solem, *τὸν μετ' ἄστρων Ζῆνα* (Sch. *τὸν ἥλιον φασὶ δεσπότην τῶν ἄστρων, τὸν ὄντα ἐν τοῖς ἄστροις θεόν*), qui „aeternae facis exortu dux astrorum secula ducens dat aestatis brumaeque notas" (Sen. Thyest. 835 sqq.) nocturnus excubitor non cognoverat. Contra longo usu didicerat, siderum reliquorum ortu et occasu regi commutationes temporum quadripartitas, maxime hiemem et aestatem. Cf. Pr. 454 sqq.

6. *δυν.* Lucilius ap. Serv. ad G. II, 98 de vino Chio praestantissimo: *Χῖος τε δυνάστης.*

ἐμπρ. Sept. 390. Il. VIII, 551 sq. Eur. Hel. 215 *Ζεὺς πρέπων δι' αἰθέρος.*

7. *ἀστ.* Valck. ad Phoen. 506: „coelum stelliferum Aesch.

etiam *αἰθέρα* dixit Ag. 6. Adscripserat quis ad h. vs. *ἀστέρας*· hinc, ut suspicor, orsus, ineptum nescio quis nobis senarium tornavit, qui, prioribus proxime subiectus, nunc in editis legitur tanquam Aeschyli, sed, nisi fallor, Achilli Tatio fuit incognitus. "*Ἄστρων ἀντολὰς* dixit Pr. 457." At Tatius quod h. vs. non adscripsit, propterea censeri non potest eum non invenisse; omittere poterat sine ullo sententiae detrimento; ita Script. de barbar. describens vs. 610, sequentem omisit. Iure H. versum vindicans „rectius, ait, addet excubitor, observare se quando occidant atque oriantur signa, quae anni tempestates afferunt." Et multo speciosior versus est, quam ut condere eum sciolus potuerit. Dactylus initio insolentior Aeschylo; tamen est vs. 1222, Ch. 214, 984. Sept. 653. Fr. 271 H. 105 A. Si legeretur *ἀντολὰς δέ τῶν*, esset *et aliorum ortus*, ut H. vertit; quum legatur *τε τῶν*, *τῶν* est *τούτων*, *αὐτῶν* (cf. Pr. 234. Sept. 197, 385, 912. Suppl. 356, 437, Thuc. I, 6. *ἐν τοῖς* (Sch. *ἐν τούτοις· ποιητικῶς*); Krüg. Gr. II, 50, 1. 4. Rost. Gr. § 98, 15. Matth. Gr. § 289). Quod Lafont. legendum censuit *ἀντέλλωσί τ' αὖ*, id malo explicationis gratiâ memorare; nam sententia est: *κάτοιδα — τῶν ἀστέρων τὸν τῆς δύσεως καὶ τῆς ἀνατολῆς καιρόν*. — Ammon. de diff. *ἄστρον· τὸ ἐκ πολλῶν ἀστέρων μεμορφευμένον ζώδιον, οἷον Ὠρίων, Ἄρκτος· ἀστήρ· ὁ εἷς*. Non ita semper, neque h. l. Ut Pind. Ol. I, 9 *ἄστρον* dixit Solem (cff. Scholia), ut *πανσέληνος πρέσβιστον ἄστρων* Sept. 390 dicitur, ita contra *ἀστὴρ* pro *ἀστέρων σύστημα* s. *ἄθροισμα*. Cf. Il. V, 5.

8. *καὶ νῦν*. 622, 1183. Eum. 30, 287. Pr. 325, 332. Soph. Ai. 3 *ἀεὶ μὲν — καὶ νῦν*. Il. I, 109. Od. IV, 193. Abr. „*quin cum maxime*, *quin etiam nunc* observo; quasi dicat: necdum finem sortitur vigilandi labor."

9. *φατ*. Excubitor observat non modo astrorum cursum, sed etiam sententiae per appositionem accurate explanandae morem, quem universe Aeschyli proprium esse iam testatus est Valck. ad Phoen. p. 361. Ita *πόνων — φρουρ.*, *λαμπ. ξύμβ. — αὐγ.*

πυρ., φάτις — ἀλ. βαξ. Soph. El. 56 sq. ἡδεῖαν φάτιν φέρωμεν. ἀλ. Hes. ἁλώσιμον· ληφθῆναι δυνάμενον. Ita vulgo; hîc non convenit. Ut Sept. 635 ἁλώσιμος παιάν dicitur ὁ ἐπὶ πορθήσει γινόμενος πρὸς θεοὺς ὕμνος, ita ἁλ. βάξ. est ἐπινίκιος, *clamor triumphalis*. Cf. 1353. Emped. fr. vs. 400. Aliter Soph. Oed. R. 519 φέροντι τήνδε βάξιν.

10. κρατεῖ —. Ad veram horum verborum sententiam viam monstravit De P. scribens: „Graecismus est purus putus." Vertit: *sic enim continuat — sperare*. Ei κρατεῖν cum participio est διατελεῖν. At sine dubio gravius est, notans *valere*. Ut vs. 30 ἀγγ. πρέπ. est διαπρεπῶς σημαίνει, ita κρατ. ἐλπ. *valet sperando*, *sperando non defatigatur*; est κάρτα (κρατερῶς, σφόδρα, ἐμπέδως) ἐλπίζει. Ἐλπίζον (quod nec adiectivum est, nec positum pro εὔελπι) in fine sententiae consulto positum, quo magis mentem advertat; nam proprie est *exspectans* (bona vel mala); Sch. ad Thuc. I, 1 τὸ ἐλπίσας οὐ μόνον ἐπὶ ἀγαθοῦ, ἀλλ' ἁπλῶς ἐπὶ τῇ τοῦ μέλλοντος ἐκβάσει λέγεται· cf. inf. 102, 240, 917. Itaque excubitor dicit: tantam *spem* alere reginae animus audet; sed intelligens auditor mente corrigit: tanto *metu* agitatur perpetuo.

11. ἀνδρ. Bekk. Anecd. p. 19 ἀνδρόβουλος γυνή· ἡ ἀνδρὸς βουλεύματα βουλευομένη· ἀνδρὸς δὲ τοῦ κατ' ἔπαινον λεγομένου. *Animi matrona virilis* (Ov. F. II, 847). Cf. 325. Ch. 624. Damasc. ap. Phot. p. 560 ὑψηλόφρονα καὶ ἀνδρόβουλον εἰς οἰκονομίαν. Soph. fr. 238 ἀνδρόφρων γυνή. Eur. fr. 372, 34 γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ. Clyt. ad Elect. ap. Sen. Ag. 958 *animos viriles corde tumefacto geris*. Neque vero alteram non attendendam esse Schol. explicationem — quam tamen non cogitavit excubitor —, post patebit. Quod autem inverecundius eum γυναικὸς pro δεσποίνης sedulo dixisse putat Bamb., causa nulla est; non enim nude positum γυν. sed connexum est cum ἀνδρόβουλον.

12. εὖτ' ἄν. Eust. p. 718, 17 εὖτε· χρονικὸν ἐπίρρημα ἰσοδυναμοῦν τῷ ὅτε καὶ ὁπηνίκα. Id. p. 94, 43: εὖτ' ἄν·

ἴσον τῷ ὅτε. Hes. εὖτ' ἄν· ὅταν, ὁπόταν. Hes. Opp. 456 εὖτ' ἂν δὲ πρώτιστ' — δὴ τότε. Athen. XII p. 520ᵃ εὖτ' ἂν — τηνίκα.

νυκτ. 304. Ch. 522, 749. Arist. Ach. 264. Opp. Ven. III, 268, Lucian. II, p. 258. Egnatius ap. Macr. VI, 5 *noctivagis* astris labentibus. Virg. Aen. X, 216; cff. ἁλίπλ. θαλασσόπλ. ὀρειόπλ. Contra Αἰγίπλ. ὄρος mons, in quo caprae errant.

13. ἐπισκ. Cf. Il. II, 20. Herod. VII, 14 sqq. ὄνειρον ἔλεξε τῷ Ξέρξῃ ἐπιστάν· — ἐπιφοιτῶν ὄνειρον φαντάζεταί μοι· — ἐπιπτήσεταί σοι τὸ ὄνειρον.

14. ἐμ. Languidum, ait H. et loco positum ineptissimo (cf. tamen Eum. 578. Suppl. 483). Prius verissime; sed ipsum languorem et satietatem languido additamento expressit excubitor; posterius falso dixit, nam aptissime postponitur, quia suam super tecto positi sortem tacite comparat cum beata sub tecto dormientium; cf. 27. Praeterea triplex terminatio — ην taedium notat; pariter ὕπνος, res vigili optatissima, recte ter deinceps positum.

φόβ. Simplicius dicere poterat: φόβος γὰρ παραχρῆμα ὕπνῳ ἀντιστατεῖ· sed hostes fingit Φόβον et Ὕπνον, quorum alter alterius praesentiam non fert.

15. τὸ μὴ —. Scal. τῷ μή· non opus; pendet enim ab ἀντι — στατεῖ, in quo resistendi et impediendi vis inest: φόβος γὰρ παραστὰς διακωλύει τὸ μὴ — ὕπνῳ — (i. e. διακ. τὸν ὕπνον). Cf. 1079, 1497. Ch. 300. Eum. 691. Soph. Ant. 544. Plat. Rep. I, 354ᵇ.

συμβ. 1202. Sept. 3. Eur. Bacch. 747 ἢ σε ξυνάψαι βλέφαρα βασιλείοις κόραις. Ion. 241. Xen. Mem. I, 4, 6 βλέφαρα ἐν τῷ ὕπνῳ συγκλείεται. Poll. II, 67 ἐπὶ τῶν βλεφάρων ἐρεῖς μῦσαι — συμβαλεῖν τὰ βλέφαρα, καὶ ἐπιβαλεῖν καὶ προσβαλεῖν. Abundat autem ita ὕπνῳ, quod tamen, ut vidimus, rem desideratissimam, repetere amat excubitor. At non sane abundat, si, quod viderunt De P. et Schn., explicamus: *ne firmiter oculi se iungant cum somno*, — *ne pactum firmum palpebrae cum*

somno ineant. Lys. fr. 3 *ὥςτε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν, ἢ τούτῳ συμβάλλειν.* Cf. inf. 601 sq. Eum. 126.

16. *ἀείδ.* Sch. ad Arist. Nub. 720: *φρουρᾶς ᾄδων· οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον· — οἱ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακήν, ᾄδουσιν ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν.* Lucret. V, 1404 *et vigilantibus haec aderant solatia somno, ducere multimodis voces et flectere cantus.*

μινύρ. Hes. *μινυρόν· μικρόν, ὀλιγόν· τῇ φωνῇ μινυρίζον.* Theocr. XIII, 12 *ὀρτάλιχοι μινυροί* (Sch. *μινυρίζοντες καὶ λεπτῇ φωνῇ θρηνοῦντες*). Soph. Oed. C. 671 *ἁ λίγεια μινύρεται ἀηδών* (Sch. *ἠχεῖ, ᾄδει θρηνοῦσα*). Fest. *minurritiones:* avium minorum cantus. Translatum in rem amatoriam. Arist. Eccl. 875 *μινυρομένη τε πρὸς ἐμαυτήν, μέλος παίζουσα,* ait anus cantu alliciens iuvenes (Sch. *ἀντὶ τοῦ ἠρέμα ᾄδουσα*). Atque ita h. l.

17. *ἀντίμ.* Eur. Med. 1120 *ἀντίμολπον ὀλολυγῆς κωκυτόν* (Sch. *ἀντίφθογγον, ἐναντίον τῇ εὐχῇ*). Iph. T. 180 *ἀντιψάλμους ᾠδάς.* Alc. 922 *ὑμεναίων γόος ἀντίπαλος.* Cf. Voss. H. in Cer. p. 71.

ἐντ. ἄκ. Suppl. 268, 804. Ch. 537 *ἄκος τομαῖον πημάτων* (Sch. *θεραπευτικὸν ἴαμα· θεράπευμα τμητικὸν τῶν κακῶν*). Eur. Andr. 121 *ἄκος τῶν δυςλύτων πόνων τεμεῖν* (Sch. *ἀπὸ τῶν ῥιζοτομούντων ἡ μεταφορά· τεμεῖν οὖν ἀντὶ τοῦ εὑρέσθαι*). Alc. 971. H. in Cer. 229. Pind. P. IV, 394. Liberius Posidippus: *ποίην τις βιότοιο τάμῃ τρίβον;*

18. *κλ.* Dubitari video, haec apodosis utrum pertineat ad duplicem protasin, *εὖτ' ἂν —, ὅταν —,* an ad solum *ὅταν —.* Qui priorem rationem sequuntur, ii putant protasin, quae ab *εὖτ' ἂν* incipit, post parenthesin continuari vel resumi voc. *ὅταν,* ita ut sit hyperbaton (cf. Arist. Av. 1608 sqq.); qui posteriorem, ii aut *γάρ* abundare censent, faciuntque ex reliquis apodosin ad *εὖτ' ἄν,* aut supplent *ἀλύω* vel *καθεύδειν οὐ δύναμαι, εἴργει*

τὸν ὕπνον ὁ φόβος. Tenendum est, γὰρ non abundare, sed referri ad ὀνείροις· nulla quippe somnia sine somno; non fruebatur somniis excubitor, quia non dormiebat; dormire autem non poterat, quia somnum metus auferebat. Itaque ad εὖτ' ἂν omissa apodosis eiusmodi est: τὴν ἀγρυπνίαν παραμυθεῖσθαι ἐπιχειρῶ. Sequitur, qua id ratione instituat.

19. διαπ. Nisi quantitas obstitisset, iamdudum διακονουμένου in editis haberemus. Causa cur poëta eo verbo usus sit, latuit. Plat. Soph. 218[c] ὅσα τῶν μεγάλων δεῖ διαπονεῖσθαι καλῶς· ita excubitor: *non ut antea optima sedulo curantis.* Praeterea passive dictum: *quae non ut antea optime administratur.* Pariter Plato Crit. 108[e] τὸ πεδίον διεπεπόνητο. Cff. καταπονεῖν, διέπειν, διοικεῖν. Plat. Prot. 318[e] ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ. Itaque συμφορὰ videbatur ea notari, quod rex prudens et potens tamdiu aberat, quo absente multa domi negligentius tractabantur. Sed eadem domus, privata regis curis assiduis, alteram subierat calamitatem; non enim amplius ex longo tempore honesta et optima tuebatur, sed malas artes exercebat, oblita virtutis.

20. γέν. Quidni γενήσεται; nam πυρὸς φανέντος sciebat custos, finem sibi vigiliarum fore. Optativo indicatur, arcte haec cum duobus antecedentibus vss. cohaerere. Usus erat verbo διαπονεῖσθαι, eo ostendens, domum πονεῖν καὶ νοσεῖν. Communes igitur excubitori cum domo πόνοι, sed diversi generis erant. Iam optans, ut finem habeant, magis regiae domus quam suos πόνους respicere censendus est.

21. ὀρφν. Hes. ὄρφνα καὶ ὀρφνη· σκοτία, νὺξ μέλαινα. ὀρφναία· σκοτεινή, μελανή. Τὴν πυρὸς αὐγὴν (vs. 9) conspiciebat nocte opaca circumdatam; erat igitur πῦρ νυκτηρεφές.

22. ἡμ. Poll. I, 64 ita dici ait τὸ ἐφ' ἑκάστῃ ἡμέρᾳ γιγνόμενον, Suid. τὸ καθ' ἡμέραν διδόμενον. Cff. ἐτήσιος, νυκτερήσιος. Hipp. de morb. mul. I, 23 τὰ ἡμερήσια τρυχία opponit τοῖς νύκτωρ. Philo IV, p. 145 τοῦ φωτὸς ἡμερησίου ἐπιλάμποντος. At ap. Her. IV, 101, Plat. Rep. X, 616[b], Locr. 97[c] ἡμερήσιον est

quod unius diei spatium non excedit. Utrumque h. l. convenit.

23. Πιφαύσκειν et πιφάσκειν confusa in Codd. Cf. Bast. Pal. p. 964.

χορ. Χοροστασία. Cf. Soph. El. 280. Arist. Nub. 271. Eur. Iph. A. 676. Call. L. P. 66; vaticinium ap. Dem. in Mid. p. 531.

24. συμφ. Sch. ad Arist. Eqq. 652 μέσον ὄνομα ἡ συμφορά· δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακὸν ἐκ τῆς προςθήκης τοῦ ἐπιφερομένου. Qua tamen adiectione non opus esse patet; scite enim excubitor eodem voc. vs. 18 et 24 in fortuna dispari utitur. Cf. 299.

25. ἰοῦ ἰοῦ. Ita scribendum. Suid. τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. Id. ἰού· σχετλιαστικὸν ἐπίρρημα ἀντὶ τοῦ οἴμοι, φεῦ· καὶ ἰοὺ ἰοὺ σχετλ. ὁμοίως ἐπίρρημα. Cf. 1122. Ch. 879. Soph. Oed. C. 220. Plat. Rep. IV, 432[d] καὶ ἐγὼ κατιδὼν ἰοῦ ἰοῦ εἶπον. Exclamationem H. male posuit ante ὦ χαῖρε, non videns, excubitorem, qui initio *Deos* oraverat liberationem laborum, exauditis precibus non tam *hilari* quam *grato* animo salutare τὸν λαμπτῆρα νυκτός, mox vero exhilarescentem planeque quantum hoc gaudium esset sentientem, in ἰοῦ ἰοῦ erumpere.

26. σημ. Pers. 479. Eum. 45. Praesens multo magis convenit hilaritate abrepto quam fut. σημανῶ. Cf. Bernh. Wiss. Synt. p. 370. Τορῶς σημ. non est, ut Pr. 605 τορῶς τέκμηρον, σαφῶς ἀγγέλλειν, signis vel verbis indicare, sed σαφῶς, ἀκριβῶς προςτάσσειν (Il. I, 289, 296), *klaar beduiden.*

27. εὐν. ἐπ. Eur. H. f. 1050 μὴ τὸν εὖ διαύοντα εὐνᾶς ἐγείρετε· — κεχυμένος ἐπαντέλλει. Opp. Ven. II. 563 εἴτ' αὐτόχθονές εἰσιν, ἐπαντέλλουσι δὲ γαίης. Ch. 280. Soph. Oed. R. 142. Eur. El. 786. H. f. 1050. Bernh. p. 180.

δόμ. K. „non est ἐν δόμοις, sed *domui*, ut domum quasi participem faciat gaudii sui." Ita sane; cf. 1029 sq. Conveniunt ἐπορθ. ὀλολ. et ἱστάναι βοὴν (Arist. Thesm. 696. Eur. Her. 128, 656). Ut Ch. 883 τίνα βοὴν ἵστης δόμοις; *quem clamorem tollis* (excitas) *domui?* (cf. Iph. Taur. 1307. Soph. Phil. 1263) ἱστάναι est ἐγείρειν, ita quoque ἐπορθ.

28. *ὀλ.* Eust. ad Od. IV, 767 *τὸ ὀλολύζειν γυναικεία εὐχὴ λιγύφωνος.* Id. ad XXII, 411 *ὀλολύξαι· τρανεστέρᾳ φωνῇ εὔξασθαι καὶ θεοὺς ἐπιβοᾶσθαι —· τὸ μέντοι ἐπὶ θρήνου τάττειν τὸ ὀλολύζειν, νεωτέρων ἐστὶ, γινόμενον παρὰ τὸ ὀλοὸν λύζειν·* cf. id. ad Il. VI, 301. Sch. ad Sept. 268: *μόνῃ τῇ Ἀθηνᾷ δαίμονι οὔσῃ πολεμικῇ ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν.* Cf. Od. III, 450. Sept. 825 *πότερον χαίρω κἀπολολύξω;* (Sch. *μετὰ χαρᾶς παιωνίσω*).

εὐφ. 547. Oppon. *ἀραῖος·* cf. 211, 1095, 1306.

λαμπ. Dativus, qualis 751. Cf. Bernh. l. l. p. 86.

29. *ἐπορθ.* 1030, 1061. Pers. 1050 *ἐπορθίαζε γόοις* (Sch. *ἐπεκτεταμένως θρήνει*), Ch. 269 *ἐξορθ. πολλὰ* (Sch. *ἀνατεταμένως βοῶν*), 749. Cf. Pers. 389, 687, 620. V. H. *ein lautes Segensjauchzen diesem Fackelglanz entgegentönen.*

30. *ἀγγ. πρ.* Cf. ad v. 10, 1130. Eum. 995. Pers. 786.

31. *φρ. χορ.* Eur. Phoen. 797 *προχορεύεις* (male Sch. pro *χορεύεις*). Respicitur modo memorata *χοροστασία,* ubi excubitor praesulem se fore iactat. Quin iam ipsum ea dicentem in tecto prae laetitia tripudiare coepisse, indicatur similiter desinentibus *χορεύσομαι — θήσομαι.* Quod ne fortuitum dicas; nam ut hîc laetitiae, ita tristitiae exprimendae causâ in Soph. Ai. 807 sq. Cf. Oed. R. 110 sq.

32. *εὖ. π. θ.* Ambigue dictum videri, nemo propius spectans negabit. Construi potest *εὖ πεσόντα,* cui respondet vs 33 *βαλούσης·* cf. Eur. El. 1101. Med. 52. Sch. ad Ag. 33. *Θήσομαι* defenditur exemplis Med. 532, 572. Or. 610. Troad. 287, quae cff. cum Phoen. 855, Plat. Alc. II, 151[c] *οἰωνὸν τίθεμαι,* Legg. III, 702[c] *οἰωνὸν ποιοῦμαι,* Gorg. 489[b] *ἕρμαιον τοῦτο ποιούμενος.* Hinc *εὖ πεσ. θ.* valet *ἕρμαιον ποιήσομαι.* — Construi etiam potest *πεσ. εὖ θ.* Nam ut Pers. 761 *ἄστυ πεσόν,* 252 *τὸ Περσῶν ἄνθος ἔρχεται πεσόν·* ut Sept. 759 *τὸ πιτνόν,* Ag. 1441 *πίτνοντος οἴκου* (Ch. 261), ita Her. VII, 18 *πεσόντα πράγματα,* Plat. Rep. X, 604[d] *ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν.* Cum *πεσόντα* (*πράγματα*) recte iungitur *εὖ θέσθαι,*

quod Suid. explicat *καλῶς διοικῆσαι*, ut Sch. Thuc. IV, 17, 4 *εὐτυχίαν καλῶς θέσθαι* expl. *ἐπαινετῶς διοικῆσαι*· cf. 59, 4. Il. II, 382. Hes. Opp. 23. Soph. El. 1439. Oed. R. 633. Fr. 534 et 212: *στέργειν δὲ τἀκπεσόντα κεὖ θέσθαι πρέπει σοφὸν κυβευτήν* (cf. Plat. Rep. X, 604ᶜ. Ter. Ad. IV, 7, 21 sqq.), quem locum tractans Hemst. ad Luc. I, p. 486 monet, *εὖ θέσθαι* etiam valere *solerter dextreque curare*, simul memorans Ag. 32, ubi in verbis *εὖ πέσ. θ.* nescio quam *audacissimam* figuram videt, „quam castigata Sophoclis maiestas sibi nunquam permisisset." Quae verba eius H. male ad vs. 33 applicat, quo non pertinent. Cf. Valck. ad Eur. Hipp. 708 p. 240 sq. Bacch. 49. — Mentio *τῆς κυβείας* facit sane ut videatur prior constructio vera esse, quam Sch. intellexit, explicans *οἰκειώσομαι*· *res dominorum mihi commodabo, in meum commodum vertam, lucro mihi apponam*, unde Lafont. *des Hauses Glück will ich zu meinem Glückswurf machen.* Sed idem excubitor consulto obscurus esse voluit et, iocum simulans, serius esse et gravis. Itaque non reiicienda est versio *collapsam dominorum fortunam restituam*; nam *εὖ θέσθαι* (*ἐπανορθοῦν*) respondet formulae *εὖ κείμενα* (Ch. 640. Her. VIII, 102. Plat. Phil. 15ᵉ), cui contrarium est *πεσόντα*, ut *τὰ κατορθούμενα* et *τὰ σφαλέντα* ap. Thuc. II, 65. Ergo recte Conz: *denn schön erhöhn dem Herrscher das Gesunkene will ich*, et liberius Minckw. *dem Herrscherhaus traun biet' ich schönen Würfelpreis.* Ambiguitatem vero inscius fortasse expressit V. H. *denn glücklich werd' ich wenden jetzt der Herrscher Loos.*" Ad illud: res heriles faciam ut commode *mihi* cedant cf. Eur. Or. 1664 *πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς*· ad alterum: res her. lapsas restituam cf. Ag. 19.

33. *τρὶς ἕξ.* Hes. *τρ. ἕξ· νικητήριος βόλος· καὶ παροιμία· τρὶς ἓξ ἢ τρεῖς κύβοι· ἐπὶ τοῦ εὐστόχου, ἀπὸ τῶν κυβευτῶν.* Zenob. Prov. IV, 23 *τὸ μὲν τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν. Πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις, καὶ οὐχ, ὡς νῦν, δύο.* Opponuntur sibi *ἡ ἑξὰς* (*βόλος πλήρης*) et *ἡ μονὰς* (*βόλ.*

κενός s. κύβος). Ludi nomen ἡ πλειστοβολίνδα· victor ὁ πλειστοβόλος, qui βασιλεύς dicebatur ut qui τρεῖς κύβους iecerat ὄνος. Eust. ad Od. I, 234 ἀστείως Ὁμήρου ἐνταῦθα εἰπόντος τὸ ἑτέρως ἐβάλοντο θεοί· ἤγ. οὐκ εὖ κατὰ τὸ· τρὶς ἓξ βαλούσης τῆς Διὸς φρυκτωρίας. Patet, excubitori in mentem venisse — neque invito poëta — veteris illius proverbii, quod in rem praesentem accommodat. Cf. Il. X, 515 οὐδ' ἀλαοσκοπίην εἶχ' ἀργυρ. Ἀπόλλων (XIII, 10. Od. VIII, 285). At licet ceteros Deos subinde alea fallat, tamen Iovi constans fortuna: αἰεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι· cf. ad 951 et Horatii in Iove et Furio lusus Sat. II, 5, 41.

φρ. Sch. ad Arist. Av. 1160 φρυκτωρίαι· αἱ τῶν πύργων φυλακαί· παρὰ τὸν φρυκτὸν καὶ τὸ ὠρεύειν. Plura Bl.

35. βαστ. Suid. βαστάσαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι. Soph. Phil. 647 sq. El. 905. Oed. C. 1100. Eur. Alc. 916 φιλίας ἀλόχου χέρα βαστάζων. El. 696. Cycl. 379. Valck. Diat. in Eur. fr. p. 172.

36. τὰ δ' ἄλλα. 222, 766, 834, 1153. Eur. Iph. T. 37.

βοῦς. Th. M. p. 169 ἡ βοῦς, οὐχ ὁ βοῦς· ἀρσενικῶς δὲ μόνον τὸν τῆς παροιμίας ἐκφέρομεν βοῦν. Dicebatur βοῦς ἐπέβη de subito tacentibus; βοῦν ἐπὶ γλώττης φέρει, vel βοῦς ἐπὶ γλώσσης (i. e. δῶρα λαβὼν, σιωπᾷ). Eodem spectat βοῦς ἐπὶ γλώσσῃ βέβηκε vel βοῦς ἐπὶ γλώσσῃ. Sch. ad Arist. Av. 1106 ἡ γλαὺξ ἐπὶ χαράγματος ἦν τετραδράχμου· ἐκλήθη δὲ τὸ νόμισμα τότε ἡ γλαύξ, τῶν προτέρων διδράχμων ὄντων, ἐπίσημόν τε βοῦν ἐχόντων. Cf. Plut. Thes. 25. — Δρομικὴ γλῶσσα dicebatur ἡ διατρέχουσα πανταχοῦ καὶ διαγγέλλουσα. In Bekk. Anecd. p. 35 additur: ἐπὶ τῶν ῥᾳδίως καὶ πανταχόσε κατηγορούντων ἢ τοὐναντίον εὐφημούντων. Cursanti tali linguae βοῦς (δίδραχμον) ἀφωνίας tanquam σφραγὶς (Theogn. 19. 859 W. Lucian. Epigr. in Anth. Pal. X, 42) imponebatur, qui firmiter insistens immobilem praestaret. Aesch. autem et Strattis (ap. Hes. βοῦς ἐμβαίνῃ μέγας), βοῦν μέγαν laudantes, ingens silentii praemium notare voluisse putandi

